from evening do(-it) lest somehow men being during
τῆς νυκτὸς φθάσῃ ἡμῖν τὸ ἀνθρώπινον, καὶ ἀπέλθωμεν
the night overtake us the human(-lot) and we-depart
τῆς τοιαύτης δόξης καὶ χαρᾶς, καὶ τοῦ τοιούτου ὀψικίου
of-the such glory and joy and of-the such retinue
καὶ στεφάνου ἀποτυχόντες. Ὡς οὖν ἤκουσεν αὐτῶν ὁ
and crown having-missed when then heard them the
ἡγούμενος εἰρηκότων τῶν τοιούτου ὀψικίου καὶ στεφάνου
abbot having-said the such retinue and crown
ἀποτυγχάνειν, ἐνόησεν ὀπτασίαν αὐτοὺς εἰς τὸν τὸ
to-miss he-understood (a)-vision them at the(-one) the
ἅγιον σχῆμα φοροῦντα ἑωρακέναι, καὶ ἐπέστρεψεν ὑπελθεῖν
holy habit wearing to-have-seen and he-directed to-go-away
αὐτὸν ἐν τῷ ἰδίῳ τόπῳ, ὅπου ἦν ἐξ οὗ ἐνεδύσατο
him to the own place where he-was from which(-time) he-put-on
τὸ ἅγιον σχῆμα. Τούτου οὖν ἀπελθόντος, ἐλυπήθησαν
the holy habit this(-one) then having-gone-off were-grieved
σφόδρα οἱ παῖδες τοῦ Χριστοῦ, καὶ λέγουσιν τῷ ἡγουμένῳ·
exceedingly the children — of-Christ and say to-the abbot
Διὰ τὸν Κύριον, Πάτερ, ἀνάστα, ποίησον ἡμᾶς ὡς
for-the-sake-of the Lord Father arise make us as
ἐκεῖνον, ὅτι εἰς τὸ μοναστήριόν σου ὅλον ἄνθρωπος ἐν τῇ
that(-one) because in the monastery your whole (a)-man in the

τοιαύτῃ τιμῇ οὐκ ἔστιν, ὡς ἐκεῖνος. Λέγει αὐτοῖς ὁ ἀββᾶς·
such honor not there-is as that(-one) says to-them the abba
Ποίᾳ τιμῇ; Τότε εἶπον· Μὰ τὸν ἀξιοῦντα ἡμᾶς, Πάτερ,
in-what honor then they-said by the(-one) deeming-worthy us Father
τοῦ σχήματος αὐτοῦ καὶ τῆς τιμῆς, μακάριοί ἐσμεν καὶ
of-the habit his and of-the honor blessed are also
ἡμεῖς, ἐὰν ὑπὸ τοσούτου πλήθους μοναχῶν μετὰ κηρίων
we if by so-great multitude of-monks with tapers
ὀψικευόμεθα, καὶ τοιοῦτον στέφανον λαμπρὸν λάμποντα
we-are-escorted and such crown bright shining
ἐπὶ τῆς ἡμετέρας κεφαλῆς φορέσομεν. Ἐνόμιζον γὰρ καὶ
on the our head we-shall-wear they-thought for also
τὸν ἡγούμενον βλέπειν τὰ ὑπ' αὐτῶν ὁρώμενα. Διὰ
the abbot to-see the(-things) by them seen because-of
τοῦτο γνοὺς, οὐδὲ εἶπεν αὐτοῖς, ὅτι αὐτὸς οὐδὲν εἶδεν,
this having-known not-even he-said to-them that he nothing saw
ἀλλ' ἐσιώπησεν, καὶ κατεπλάγη τὴν πολλὴν ἀκεραιότητα
but he-kept-silent and was-astounded-at the great guilelessness
καὶ καθαρότητα, μάλιστα δὲ τοῦ Συμεών.
and purity especially but — of-Symeon
Τοῦτο δὲ χαριεστάτως ἔλεγεν αὐτοῖς ὁ μέγας, ὅτι 14
this and most-graciously said to-them the great(-man) that
Αὔριον ἐνδύομεν καὶ ὑμᾶς διὰ τῆς χάριτος τοῦ ἁγίου
tomorrow we-clothe also you through the grace of-the holy
Πνεύματος. Μετὰ οὖν τὸ λαβεῖν αὐτοὺς τὸ ἅγιον σχῆμα,
Spirit after then the to-receive them the holy habit
ὡς διεβεβαιοῦτο ὁ ὁσιώτατος διάκονος, διισχυρίζετο ὁ
as affirmed the most-holy deacon insisted the
ἀψευδὴς Συμεὼν, ὅτι Τὰ πρόσωπα ἀλλήλων ἐθεωροῦμεν
unlying Symeon that the faces of-one-another we-saw
τῇ νυκτὶ ὡς ἐν ἡμέρᾳ, καὶ ὁμοίως τοῦ πρότερον ὑπ'
in-the night as in day and likewise to-the(-one) earlier by

αὐτῶν θεαθέντος, στέφανον ἐπὶ τῆς τοῦ ἑτέρου κεφαλῆς
them seen (a)-crown on the of-the other head
ὁ ἕτερος. Ἐν τοιαύτῃ δὲ χαρᾷ ἦν, φημὶ, ἡ ψυχὴ ἡμῶν,
the one in such and joy was I-say the soul our
ὥστε μηδὲ θέλειν ἡμᾶς εὐχερῶς τροφῆς μεταλαμβάνειν
so-that not-even to-wish us readily of-food to-partake
ἢ πόσεως. Μετὰ οὖν δύο ἡμέρας τοῦ λαβεῖν αὐτοὺς τὸ
or of-drink after then two days of-the to-receive them the
ἅγιον ἔνδυμα, θεωροῦσιν τὸν πρὸ ἑπτὰ ἡμερῶν τοῦτο
holy garment they-see the(-one) before seven days this
λαβόντα, εἰς ὃν τὸν στέφανον καὶ τοὺς ὀψικεύοντας
having-received on whom the crown and those escorting
ἐθεάσαντο, καὶ ἐφόρει σακκομάχιν, καὶ ἐποίει διακονίαν,
they-had-seen and he-wore (a)-sack-apron and did service
καὶ λοιπὸν οὐκ ἔτι οὔτε τὸν στέφανον αὐτῷ περικείμενον,
and further no longer neither the crown on-him set
οὔτε πάλιν τοὺς μετὰ κηρίων ὀψικεύοντας μοναχοὺς
nor again the with tapers escorting monks
ἐκέκτητο, καὶ ἐθαύμασαν. Καὶ λέγει ὁ Συμεὼν τῷ Ἰωάννῃ·
he-had and they-marveled and says — Symeon — to-John
Πίστευσον, ἀδελφὲ, ἐὰν καὶ ἡμεῖς πληρώσωμεν τὰς αὐτὰς
believe brother if also we fulfill the same
ἡμέρας ἑπτὰ, οὐκ ἔτι ἕξομεν τὴν εὐπρέπειαν ταύτην
days seven not longer shall-we-have the comeliness this
καὶ τὴν χάριν. Καὶ λέγει ὁ Ἰωάννης· Καὶ τί θέλεις ἵνα
and the grace and says — John and what do-you-wish that
γένηται, ἀδελφέ; Λέγει αὐτῷ πάλιν· Ἐὰν ἀκούσῃς μου, ἵνα
happen brother says to-him again if you-listen-to me that
ὥσπερ ἐγκατελείψαμεν καὶ ἀπεταξάμεθα τῶν κοσμικῶν,
as we-forsook and renounced the worldly(-things)
ἀποταξώμεθα τελείως ἀπὸ πάσης πνοῆς. Ἄλλον γὰρ βίον
let-us-renounce perfectly from every breath other for life

καὶ ξένα πράγματα θεωρῶ ἐν τῷ σχήματι τούτῳ. Ἀφ'
and strange things I-see in the habit this from
ἧς γὰρ αὐτὸ ὁ δοῦλος τοῦ Θεοῦ ἐνέδυσεν ἡμᾶς,
which(-time) for it the servant — of-God put-on us
καίονται τὰ ἔσωθέν μου, οὐκ οἶδα πόθεν, καὶ ζητεῖ
burn the(-things) inside my not I-know whence and seeks
ἡ ψυχή μου μὴ θεωρῆσαί τινα, μήτε λαλῆσαι, ἢ ἀκοῦσαί
the soul my not to-see anyone nor to-speak or to-hear
τινος. Λέγει αὐτῷ ὁ Ἰωάννης· Καὶ τί τρώγομεν, ἀδελφέ;
anyone says to-him — John and what do-we-eat brother
Λέγει αὐτῷ Συμεών· Εἴ τι τρώγουσιν οἱ ἀκούοντες
says to-him Symeon if anything eat the called
βοσκοί, περὶ ὧν καὶ χθὲς εἶπεν ἡμῖν ὁ κύριος Νίκων;
grazers about whom also yesterday told us the lord Nicon
Τάχα γὰρ καὶ αὐτὸς θέλων, ἵνα τοιοῦτον βίον διάξωμεν,
perhaps for also he wishing that such life we-lead
διηγήσατο ἡμῖν τὸ πῶς ζῶσιν, καὶ πῶς κοιμῶνται, καὶ
narrated to-us the how they-live and how they-sleep and
πάντα τὰ κατ' αὐτούς. Εἶτά φησιν ὁ Ἰωάννης· Καὶ
all the(-things) about them then says — John and
πῶς; Ὅτι οὔτε ψάλαι, οὔτε τὴν κατάστασιν παρελάβομεν.
how since neither to-sing-psalms nor the rule have-we-received
Τότε ἀνέῳξεν ὁ Θεὸς τὴν καρδίαν τοῦ ἀββᾶ Συμεών, καὶ 15
then opened — God the heart — of-abba Symeon and
εἶπεν· Ὁ σώσας τοὺς πρὸ τοῦ Δαυΐδ εὐαρεστήσαντας
he-said the(-one) having-saved those before — David having-been-well-pleasing
αὐτῷ, σώζει καὶ ἡμᾶς. Εἰ δὲ καὶ ἄξιοι γενώμεθα, διδάσκει
to-him saves also us if and also worthy we-become he-teaches
καὶ ἡμᾶς, ὡς ἐδίδαξεν τὸν Δαυΐδ, ὡς ἦν εἰς τὰ πρόβατα
also us as he-taught — David when he-was among the sheep
εἰς τὴν ἔρημον, μὴ θελήσῃς ἀνακόψαι τὴν προθυμίαν μου,
in the desert not wish to-check the eagerness my

ἀδελφέ. Ἀλλὰ λοιπὸν, ὅτι εἰς τοῦτο τὸ πρᾶγμα ἐδιώκαμεν
brother but further since for this the thing we-drove
ἑαυτοὺς, μὴ ἀφανίσωμεν αὐτό. Τότε ὁ κῦρις Ἰωάννης
ourselves not let-us-destroy it then the lord John
εἶπεν· Ὡς θέλεις, ποιήσομεν. Πῶς δὲ καὶ ἐξερχόμεθα; ὅτι
said as you-wish we-will-do how and also do-we-go-out since
ἡ θύρα κλείεται τῇ νυκτί· Λέγει αὐτῷ Συμεών· Ὁ
the door is-shut in-the night says to-him Symeon the(-one)
ἀνοίξας ἡμῖν τῇ ἡμέρᾳ, αὐτὸς ἀνοίγει καὶ τῇ νυκτί. Ὡς
having-opened to-us in-the day he opens also in-the night when
οὖν ἔστησαν τὴν βουλὴν, εὐθὺς τῆς νυκτὸς καταλαβούσης,
then they-had-settled the counsel at-once the night having-come
θεωρεῖ ὁ ἡγούμενός τινα καθ' ὕπνους ἀνοίγοντα τὴν
sees the abbot someone in sleep opening the
θύραν τοῦ μοναστηρίου, καὶ λέγοντα· Ἐξέλθετε, πρόβατα
door of-the monastery and saying go-out sheep
ἐσφραγισμένα τοῦ Χριστοῦ, εἰς τὴν βοσκὴν ὑμῶν. Καὶ
sealed — of-Christ to the pasture your and
διυπνισθεὶς, εὐθέως κατέρχεται εἰς τὸν πυλῶνα, καὶ
having-awoken at-once he-goes-down to the gateway and
εὗρον αὐτὸν ἀνοικτὸν, καὶ νομίσας ὅτι ἐξῆλθεν
they-found it open and having-thought that they-had-gone-out
ἐκεῖθεν, ἐκαθέζετο στυγνὸς, στενάζων καὶ λέγων, ὅτι Οὐκ
from-there he-sat gloomy groaning and saying that not
ἠξιώθην ἐγὼ ὁ ἁμαρτωλὸς λαβεῖν τὴν εὐχὴν τῶν
I-was-deemed-worthy I the sinner to-receive the prayer of-the
Πατέρων μου. Ἀληθῶς οὗτοί μου Πατέρες, καὶ δεσπόται,
Fathers my truly these(-men) my Fathers and masters
καὶ διδάσκαλοι ἐτύγχανον, καὶ διὰ τοῦτο τῆς παρ'
and teachers happened-to-be and because-of this of-the from
αὐτῶν παραθέσεως ἠστόχησα. Βαβαί! πῶς λίθοι τίμιοι,
them commendation I-missed alas how stones precious

ὥς φησιν ἡ Γραφὴ, λεληθότες ἐπὶ τῆς γῆς κυλίονται, ὑπὸ
as says the Scripture unnoticed on the earth roll by
πολλῶν μὲν φαινόμενοι, ὑπὸ ὀλίγων δὲ καταλαμβανόμενοι!
many indeed seen by few but grasped
Ὡς ταῦτα οὖν εἰς ἑαυτὸν ἀδημονῶν διελογίζετο, ἰδοὺ οἱ
when these(-things) then to himself being-distressed he-reasoned behold the
νυμφίοι οἱ καθαροὶ τοῦ Χριστοῦ ἐρχόμενοι ἐπὶ τὸ ἐξελθεῖν,
bridegrooms the pure(-ones) — of-Christ coming for the to-go-out
ὧν ἔμπροσθεν ἐθεώρει ὁ καθαρώτατος ἡγούμενος Νίκων
whom before saw the most-pure abbot Nicon
τινὰς εὐνούχους λαμπαδηφόρους, τοὺς δὲ σκῆπτρα ἐν
some eunuchs torch-bearing the(-others) and scepters in
τῇ μιᾷ χειρὶ κατέχοντας.
the one hand holding

III · NICON'S PRAYER AND THE DESERT

Nicon, overjoyed, runs to call them back when, not knowing him, they turn away, and forbids them to prostrate themselves, for the honor of the habit. They thank him as father and mother: no king, treasure, bath, or parents could have given what he has, and through him they have learned the power of baptism and felt their sins burned away. He stands Symeon on his right and John on his left and prays at length that God guard his children in a strange land, then warns them of the war they have entered. As they leave, each asks him privately to pray that the other not be drawn back to wife or mother. They turn right and reach the Dead Sea by Arnonas, where they find the cell of a hermit dead a few days before. When the devil wars on them with thoughts of John's wife and Symeon's mother, they pray Nicon's prayer, which they find they know by heart.

Ὡς οὖν τούτους ἐθεάσατο, περιχαρὴς σφόδρα ἐγένετο, 16
as then these he-beheld overjoyed exceedingly he-became
διότι οὐκ ἀπέτυχεν τῆς αὐτοῦ ἐπιθυμίας· ὃν θεασάμενοι
because not he-had-failed of-the his desire whom having-seen

οἱ μακάριοι, ἠβουλήθησαν ὑποστρέψαι, μὴ νοήσαντες ὅτι
the blessed(-ones) wished to-turn-back not having-understood that
ὁ ἡγούμενός ἐστιν. Ἔδραμεν οὖν ὁ ὅσιος Νίκων καὶ
the abbot he-is ran then the holy Nicon and
προσεκαλέσατο αὐτοὺς πρὸς ἑαυτόν. Ὡς οὖν ἔγνωσαν ὅτι
called them to himself as then they-knew that
ὁ ἡγούμενός ἐστιν, περιχαρεῖς καὶ αὐτοὶ ἐγένοντο, μάλιστα
the abbot he-is overjoyed also they became especially
θεωρήσαντες καὶ τὸν πυλῶνα ἀνοικτόν· ἐνόησαν γὰρ ὅτι
having-seen also the gate open they-understood for that
ὁ Θεὸς αὐτῷ πάλιν καὶ τοῦτο ἀπεκάλυψεν. Ἠθέλησαν οὖν
— God to-him again also this revealed they-wished then
βαλεῖν μετάνοιαν, καὶ διεκώλυσεν αὐτοὺς λέγων, μηδὲν
to-make penitence and he-prevented them saying nothing
τοιοῦτον αὐτοῖς ἐξεῖναι ποιῆσαι, διὰ τὴν τιμὴν τοῦ
such for-them to-be-allowed to-do because-of the honor of-the
περιτεθέντος αὐτοῖς ἀγγελικοῦ σχήματος. Λέγουσιν οὖν
having-been-put-on them angelic habit they-say then
αὐτῷ εὐθέως· Εὐχαριστοῦμέν σοι, Πάτερ, καὶ τί προσάξαι
to-him at-once we-thank you Father and what to-offer
τῷ Θεῷ καὶ τῇ σῇ τιμίᾳ κεφαλῇ, οὐκ οἴδαμεν. Τίς ἡμᾶς
— to-God and to-the your honored head not we-know who us
τοιούτων δωρεῶν ἀξιωθῆναι ἤλπιζεν; ποῖος βασιλεὺς
of-such gifts to-be-deemed-worthy hoped what king
τοιούτῳ ἀξιώματι ἡμᾶς τιμῆσαι ἠδύνατο; ποῖοι ἐπίγειοι
with-such rank us to-honor could what earthly
θησαυροὶ οὕτως ἐξαίφνης πλουτῆσαι ἡμᾶς ἐποίουν; ποίων
treasures so suddenly to-grow-rich us were-making of-what
λουτρῶν ἀπολούσεις οὕτως ἡμῶν τὴν ψυχὴν ἐκαθάριζον;
baths washings so our the soul were-cleansing
ποῖοι γονεῖς οὕτως ἀγαπῆσαι καὶ σῶσαι ἐδύναντο; ποῖα
what parents so to-love and to-save could what

ξένια δῶρα τὴν τῶν ἁμαρτιῶν ἡμῶν ἄφεσιν συντόμως
guest gifts the of-the sins our remission swiftly
οὕτως ἐνέγκαι ἡμῖν ἴσχυον, ὡς σὺ, τίμιε ἡμῶν Πάτερ,
so to-bring to-us were-able as you honored our Father
καὶ ἀντὶ πάντων τῶν προγόνων ἡμῶν καὶ γονέων, σὺ
and instead-of all the forebears our and parents you
ἡμῶν, μετὰ Χριστὸν, πατὴρ καὶ μήτηρ; Σὺ Δεσπότης,
our after Christ father and mother you Master
σὺ συγκροτητὴς, σὺ χειραγωγὸς, σὺ ὁδηγὸς, καὶ ὅσα
you trainer you guide you leader and whatever
γλῶσσα εἰπεῖν οὐκ ἰσχύει. Διὰ σοῦ τὸν πολυτίμητον
tongue to-say not is-able through you the very-precious
μαργαρίτην ἐκτησάμεθα, ἐμάθομεν ἀληθῶς τὴν δύναμιν τοῦ
pearl we-acquired we-learned truly the power of-the
βαπτίσματος, οὗπερ ἡμῖν οἱ ὅσιοι Πατέρες προέλεγον.
baptism which-very to-us the holy Fathers foretold
Ἔγνωμεν ὄντως τὴν τῶν ἡμετέρων ἁμαρτιῶν κατάκαυσιν
we-knew truly the of-the our sins burning-up
ἐκ τοῦ περικαίοντος ἡμῶν τὰς καρδίας πυρὸς, ὅπερ
from the burning-around our the hearts fire which-very
καὶ μὴ φέροντες, οὕτως τὰ ἡμῶν ἐντὸς περιφλέγων.
even not bearing thus the(-things) our within scorching-around
Αἰτοῦμεν εὐχὴν ποιῆσαι ἐκτενῶς τὴν μακαριότητά σου, 17
we-ask prayer to-make earnestly the blessedness your
Πάτερ, καὶ ἀπολῦσαι τοὺς σοὺς δούλους εἰς τὸ γνησίως
Father and to-dismiss the your servants for the genuinely
καὶ ὁλοψύχως δουλεῦσαι ᾧ ἀφιερώσαμεν ἑαυτοὺς Θεῷ,
and wholeheartedly to-serve to-whom we-dedicated ourselves God
δυσωπούμενος μηδέποτε λήθην ποιῆσαι ἀχρείων σου
being-entreated never forgetfulness to-make of-useless your
παίδων, ἐν καιρῷ ἐκτάσεως χειρῶν σου τιμίων. Ναὶ,
children in time of-stretching-out of-hands your honored yes

ναὶ, δυσωπούμενος ὑπὸ τῶν ξένων, ὅσιε, μνείαν ποιοῦ
yes being-entreated by the strangers holy(-one) remembrance make
τῆς αὐτῶν ὀρφανείας. Καὶ ἐπιλαβόμενοι τῶν γονάτων
of-the their orphanhood and having-taken-hold of-the knees
τοῦ ὁσίου, πάλιν ἔλεγον· Μνήσθητι, Πάτερ, τῶν σῶν
of-the holy(-man) again they-said remember Father the your
ταπεινῶν προβάτων, ὧν ὁλοκαύτωσας τῷ Χριστῷ.
humble sheep whom you-offered-whole — to-Christ
Μνημόνευσον ξένων φυτῶν, ἃ ἐν τῷ καλῷ κήπῳ τοῦ
remember strange plants which in the fair garden of-the
παραδείσου φυτεῦσαι ἔσπευσας. Μὴ ἐπιλάθῃ ὀκνηρῶν
paradise to-plant you-hastened not forget sluggish
ἐργατῶν, οὓς περὶ τὴν ἑνδεκάτην εἰς τὸν ἀμπελῶνα τῷ
workers whom about the eleventh(-hour) into the vineyard —
Χριστῷ ἐμίσθωσας. Ἐθαύμαζεν δὲ καὶ ἐξεπλήττετο ὁ
for-Christ you-hired marveled and also was-amazed the
ποιμὴν, θεωρῶν τοὺς πρὸ δύο ἡμερῶν ἰδιώτας, οὕτως
shepherd seeing the before two days unlettered so
ἐξαίφνης σοφισθέντας διὰ τῆς περιβολῆς τοῦ θείου
suddenly made-wise through the putting-on of-the divine
σχήματος. Ὡς ἔκλαυσαν οὖν ἀμφότεροι ἐπὶ ἱκανὴν ὥραν,
habit as wept then both for considerable time
κλίνας γόνυ ὁ ὅσιος Νίκων, καὶ στήσας Συμεὼν ἐκ
having-bent knee the holy Nicon and having-stood Symeon on
δεξιῶν, καὶ Ἰωάννην ἐξ εὐωνύμων ἀνέστη, καὶ ἐκτείνας
(the)-right and John on (the)-left stood-up and having-stretched-out
τὰς χεῖρας εἰς τὸν οὐρανὸν, εἶπεν· Ὁ Θεὸς ὁ δίκαιος
the hands to the heaven said O God the just
καὶ αἰνετὸς, ὁ Θεὸς ὁ μέγας καὶ ἰσχυρὸς, ὁ Θεὸς
and praiseworthy O God the great and strong O God
ὁ προαιώνιος, εἰσάκουσον ἁμαρτωλοῦ ἀνδρὸς τῇ ὥρᾳ
the before-the-ages hear sinful man at-the hour

ταύτῃ. Ἐπάκουσόν μου, ὁ Θεὸς, ἐπάκουσόν μου ἐν ἰσχύϊ.
this hearken-to me O God hearken-to me in strength
Μὴ μνημόνευσον, ἐν ταύτῃ μου τῇ προσευχῇ, τῶν ἀεὶ
not remember in this my the prayer the always
καὶ εἰς ἀεὶ παρακοῶν τῆς ἐμῆς ἐξουθενώσεως. Ἐπάκουσόν
and for ever disobediences of-the my worthlessness hearken-to
μου, Κύριε, ἐπάκουσόν μου ἐν πυρὶ προσευχῆς, ὥς ποτε
me Lord hearken-to me in fire of-prayer as once
τοῦ σοῦ προφήτου, καὶ διὰ τῶν αὐτοῦ πρεσβειῶν, τὰς
the your prophet and through the his intercessions the
ἀνομίας μου κατάφλεξον, καὶ τὰς ἁμαρτίας μου καθάρισον.
iniquities my burn-up and the sins my cleanse
Ναὶ, ὁ Θεὸς τῶν ἁγίων δυνάμεων· ναὶ ὁ τῶν ἀσωμάτων
yes O God of-the holy powers yes O of-the bodiless(-ones)
ποιητής· ναὶ, ὁ εἰπών· Αἰτεῖτε, καὶ λήψεσθε·
maker yes the(-one) having-said ask and you-will-receive
μή με βδελύξῃ τὸν ἀκάθαρτα χείλη περιβεβλημένον,
not me abhor the(-one) unclean lips clothed-in
καὶ ἐν ἁμαρτίαις συνεχόμενον. Ἐπάκουσόν μου, ὁ
and in sins held-fast hearken-to me the(-one)
ἐπαγγειλάμενος ἐπακούειν τῶν ἐν ἀληθείᾳ ἐπικαλουμένων
having-promised to-hearken-to those in truth calling-upon
σε, καὶ κατεύθυνον τὰ διαβήματα τῶν δούλων σου, καὶ
you and direct the steps of-the servants your and
τοὺς πόδας αὐτῶν εἰς ὁδὸν εἰρήνης. Συμπάθησον ἀκάκοις
the feet their into (the)-way of-peace have-compassion on-guileless
παισὶν ἐπὶ ξένης οὖσιν, ὁ εἰπών· «Γίνεσθε
children in (a)-strange(-land) being the(-one) having-said be
ἀκέραιοι ὡς αἱ περιστεραί.» Ἐκέκραξά σοι ἐν ὅλῃ καρδίᾳ
innocent as the doves I-cried to-you with whole heart

μου. Ὁ Θεὸς, ὁ Θεὸς, ἐπάκουσόν μου, ἡ ἐλπὶς πάντων
my O God O God hearken-to me the hope of-all
τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐπὶ ξένης μακράν.
the ends of-the earth and of-those in (a)-strange(-land) far-off
18 Ἐπιτίμησον πᾶσιν τοῖς ἀκαθάρτοις πνεύμασιν ἀπὸ
rebuke all the unclean spirits from
προσώπου τῶν παίδων σου. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ,
(the)-face of-the children your take-hold of-weapon and shield
καὶ ἀνάστηθι εἰς τὴν βοήθειαν αὐτῶν. Ἔκχεον ῥομφαίαν
and rise-up for the help their draw sword
καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων αὐτούς.
and shut(-the-way) against those pursuing them
Εἰπὲ, ὦ Κύριε, τῇ ψυχῇ αὐτῶν· Σωτηρία σού εἰμι
say O Lord to-the soul their salvation your am
ἐγώ. Ὑπαναχωρησάτω ἀπὸ τῆς αὐτῶν διανοίας, πνεῦμα
I let-withdraw from the their mind (the)-spirit
δειλίας, ἀκηδίας, ὑπερηφανίας, καὶ πάσης κακίας, καὶ
of-cowardice of-listlessness of-pride and of-all wickedness and
κατασβεσθήτω αὐτῶν πᾶσα πύρωσις καὶ κίνησις ἐκ
let-be-quenched their every burning and motion from
διαβολικῆς ἐνεργείας συνισταμένη. Φωτισθήτω αὐτῶν τὸ
devilish working arising let-be-enlightened their the
σῶμα, καὶ ψυχὴ, καὶ τὸ πνεῦμα τῷ φωτὶ τῆς γνώσεώς
body and soul and the spirit with-the light of-the knowledge
σου, ἵνα καταντήσαντες εἰς τὴν ἑνότητα τῆς πίστεως, καὶ
your so-that having-attained to the unity of-the faith and
τῆς ἐπιγνώσεως τῆς ἁγίας καὶ προσκυνητῆς Τριάδος, εἰς
of-the knowledge of-the holy and worshipful Trinity to
ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας, δοξάσωσίν σε εἰς αἰῶνα
(a)-man perfect to (the)-measure of-stature they-may-glorify you to age
αἰῶνος, καὶ εὐαρεστήσωσίν σοι τῷ Κυρίῳ, ὅτι πάνδημον
of-age and may-please you the Lord for common-to-all

τὸ φυλακτήριον ὄνομά σου, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ
the protecting name your of-the Father and of-the Son and
τοῦ ἁγίου Πνεύματος. Ἀμήν. Δὸς δὲ αὐτοῖς σὺν πᾶσι τοῖς
of-the holy Spirit amen give and to-them with all the
ἀγαθοῖς, ὦ Κύριε, καὶ τοὺς λόγους ταύτης μου τῆς οἰκτρᾶς
good(-things) O Lord also the words of-this my the pitiable
καὶ ἀναξίας σου ἱκεσίας ἐν καρδίᾳ διὰ παντὸς ἔχειν
and unworthy of-you supplication in heart through all to-have
πρὸς δοξολογίαν καὶ ὕμνον τῆς σῆς χρηστότητος. Πάλιν
for doxology and hymn of-the your goodness again
δὲ πρὸς αὐτοὺς μετὰ πολλῶν δακρύων ἔλεγεν· Ὁ Θεὸς,
and to them with many tears he-said — God
ὃν ἐξελέξασθε, τέκνα καλὰ, καὶ ᾧ κατεδράμετε, αὐτὸς
whom you-chose children good and to-whom you-ran he
ἐξαποστελεῖ τὸν ἄγγελον αὐτοῦ πρὸ προσώπου ὑμῶν, καὶ
will-send-forth the angel his before (the)-face your and
κατασκευάσει τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν τῶν ποδῶν ὑμῶν.
will-prepare the way his before the feet your
Ὁ ἄγγελος, ὥς φησιν ὁ μέγας Ἰακὼβ, ὁ ῥυόμενός με
the angel as says the great Jacob the(-one) delivering me
ἀπὸ πάντων τῶν ἐναντίων δυνάμεων, αὐτὸς προπορεύεται
from all the opposing powers he goes-before
τῶν τρίβων ὑμῶν. Ὁ ῥυσάμενος τὸν ἑαυτοῦ προφήτην
the paths your the(-one) having-delivered the his-own prophet
ἐκ στόματος λεόντων, αὐτὸς ῥύσεται καὶ ὑμᾶς ἀπὸ τῶν
from (the)-mouth of-lions he will-deliver also you from the
χειρῶν τοῦ λέοντος. Ὁ ἐκλεξάμενος ὑμᾶς Θεὸς, αὐτὸς
hands of-the lion — having-chosen you God he
ἀκαταίσχυντον τὴν θυσίαν μου φυλάξει. Ὡς δὲ ταῦτα
unashamed the sacrifice my will-keep as and these(-things)
καὶ πλεῖον τούτων αὐτοῖς ἐπηύξατο, καὶ συνεπλάκη ὁ
and more than-these for-them he-prayed also embraced the

θεοφόρος τοῖς τραχήλοις αὐτῶν καὶ ἔλεγεν· Σῶσον, ὁ
God-bearing(-man) the necks their and said save O
Θεὸς, σῶσον τοὺς ἐν ὅλῃ καρδίᾳ ἀγαπήσαντας τὸ ὄνομά
God save those with whole heart having-loved the name
σου· οὐ γὰρ ἄδικος εἶ, Κύριε, τοὺς καταλείψαντας τὰ
your not for unjust you-are Lord those having-left the
μάταια τοῦ βίου πράγματα, περιδεῖν καὶ ἐγκαταλεῖψαι.
vain of-the life affairs to-overlook and to-forsake
19 Εἶτα πάλιν πρὸς αὐτούς· Βλέπετε, τέκνα, εἰς πόλεμον
then again to them see children into war
ἑαυτοὺς ἐξεδώκατε φοβερὸν καὶ ἀθέατον. Ἀλλὰ μὴ
yourselves you-gave-over fearful and unseen but not
φοβηθῆτε· «Δυνατὸς γάρ ἐστιν ὁ Θεὸς, ὃς οὐκ
fear mighty for is — God who not
ἐάσει ὑμᾶς πειρασθῆναι, ὑπὲρ ὃ δύνασθε ὑπενεγκεῖν.»
will-allow you to-be-tempted beyond what you-can bear
Ἀγωνίσασθε, τέκνα, μὴ ἡττηθῆναι αὐτῷ, ἀλλὰ στῆτε
strive children not to-be-defeated by-him but stand
γενναῖοι, ἔχοντες τὸ ὅπλον τοῦ ἁγίου σχήματος κατ᾽ αὐτοῦ,
noble having the weapon of-the holy habit against him
μνημονεύσατε τοῦ εἰπόντος· «Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα
remember the(-one) having-said no-one having-put the hand
αὐτοῦ ἐπ᾽ ἄροτρον, καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός
his on (a)-plow and having-turned to the(-things) behind fit
ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.» Καὶ πάλιν περὶ τῆς
is for the kingdom of-the heavens and again about the
τοῦ πύργου οἰκοδομῆς· Μὴ ἀρξαμένων ὑμῶν τῆς τελείας
of-the tower building lest having-begun you the perfect
ὁδοῦ, τῆς κατὰ Θεὸν πολιτείας ἀποχαυνωθῆτε, καὶ
way of-the according-to God way-of-life you-grow-slack and
πληρωθῇ ἐφ᾽ ὑμῖν, ὅτι Ἤρξαντο οἰκοδομῆσαι, καὶ οὐκ εἶχον
be-fulfilled in you that they-began to-build and not they-had

δύναμιν καὶ προθυμίαν πρὸς τὸν ἀπαρτισμὸν τοῦ θεμελίου.
power and eagerness for the completion of-the foundation
Ἀσφαλίσασθε, τέκνα· μικρὸς ὁ πόλεμος, ἀλλὰ μέγας ὁ
make-yourselves-secure children small the war but great the
στέφανος· πρόσκαιρος ὁ πόνος, ἀλλ᾽ αἰωνία ἡ ἀνάπαυσις.
crown brief the toil but eternal the rest
Τῆς ὥρας οὖν προκοψάσης, καὶ ἤδη λοιπὸν τοῦ ξύλου
the hour then having-advanced and already now the wood
κρούοντος, ὡς ἔμελλον τοῦ πυλῶνος ἐξέρχεσθαι, ἔλαβεν
striking as they-were-about from-the gate to-go-out took
ὁ Συμεὼν τὸν ἡγούμενον κατ᾽ ἰδίαν, καὶ εἶπεν αὐτῷ·
— Symeon the abbot in private and said to-him
Διὰ τὸν Θεὸν, Πάτερ, εὖξαι, ἵνα ὁ Θεὸς διασκεδάσῃ
for-the-sake-of — God Father pray that — God may-scatter
τὴν μνήμην τῆς γυναικὸς τοῦ ἀδελφοῦ μου Ἰωάννου, μή
the memory of-the wife of-the brother my John lest
πως ἐκ τοῦ πονηροῦ ἐάσαι με, καὶ ἀπόλωμαι ὑπὸ τῆς
somehow from the evil(-one) he-leave me and I-perish from the
λύπης αὐτοῦ, καὶ τῆς ἀπωλείας καὶ τοῦ χωρισμοῦ. Εὖξαι,
grief for-him and the loss and the separation pray
δέομαι διὰ τὸν Κύριον, ἵνα παραμυθήσηται ὁ Θεὸς
I-beg for-the-sake-of the Lord that may-console — God
καὶ τοὺς γονεῖς αὐτοῦ, ἵνα μὴ μεριμνῶσιν αὐτόν.
also the parents his that not they-worry-about him
Θαυμάσαντος δὲ τοῦ γέροντος τὴν στοργὴν, ἣν ἔχει πρὸς 20
having-marveled-at and the old-man the affection which he-has toward
τὸν ἀδελφὸν, οὐδὲν ἀπεκρίθη αὐτῷ. Πάλιν δὲ τὸν αὐτὸν
the brother nothing answered him again and the same
τρόπον ἔλαβεν αὐτὸν καὶ ὁ ἀββᾶς Ἰωάννης, καὶ παρεκάλει
way took him also — abba John and besought(-him)
κατ᾽ ἰδίαν· Διὰ τὸν Θεὸν, Πάτερ, μὴ ἀμελήσῃς
in private for-the-sake-of — God Father not neglect

τοῦ ἀδελφοῦ, εὐχόμενος, ἵνα μὴ φύγῃ με διὰ τὴν
the brother praying that not he-flee me because-of the
μητέρα αὐτοῦ, συμπαθῶν αὐτῇ, καὶ εὑρεθῶ ἐν τῷ λιμένι
mother his pitying her and I-be-found in the harbor
ὑπομένων τὸ ναυάγιον. Ὡς οὖν εἴρηται, καταπλαγεὶς
suffering the shipwreck as then has-been-said having-been-astonished-at
τὴν ἀμφοτέρων πρὸς ἀλλήλους ἀγάπην, τελείως λέγει
the of-both toward one-another love perfectly says
αὐτοῖς· Πορεύεσθε, τέκνα· εὐαγγελίζομαι γὰρ ὑμῖν, ὅτι
to-them go children I-bring-good-news for to-you that
ὁ ἀνοίξας ὑμῖν ὧδε, προσήνοιξεν ὑμῖν καὶ τὰ
the(-one) having-opened to-you here has-opened to-you also the(-things)
ἐκεῖ. Καὶ σφραγίσας αὐτῶν τὰ μέτωπα καὶ τὰ στήθη καὶ
there and having-sealed their the foreheads and the breasts and
ὅλον τὸ σῶμα, ἀπέλυσεν αὐτούς. Ὡς οὖν ἀπελύθησαν, καὶ
whole the body he-dismissed them as then they-were-dismissed and
ἐξῆλθον, ταῦτα ἔλεγον· Ὁ Θεὸς τοῦ δούλου σου τοῦ
went-out these(-things) they-said O God of-the servant your the
μεγάλου, ὁδήγησον ἡμᾶς τοὺς ξένους καὶ ἀπεριστάτους,
great guide us the strangers and helpless
ὅτι οὔτε τοὺς τόπους, οὔτε τὴν χώραν ἐπιστάμεθα. Ἀλλὰ
for neither the places nor the country we-know but
πρὸς σὲ ἐρχόμενοι, παρεδώκαμεν ἑαυτοὺς εἰς θάνατον, εἰς
to you coming we-gave-over ourselves to death into
τὸ πέλαγος τῆς ἐρήμου ταύτης. Λέγει οὖν ὁ Ἰωάννης τῷ
the sea of-the desert this says then — John —
Συμεών· Τί ἐστιν ἄρτι; Ποῦ ὑπάγομεν; Ἀπεκρίθη αὐτῷ
to-Symeon what is(-it) now where are-we-going answered him
ἐκεῖνος, βάλωμεν δεξιά, ὅτι ὅλα τὰ δεξιά, καλά εἰσιν.
that(-one) let-us-turn right for all the(-things) right good are

Καὶ ἐρχόμεναι κατήντησαν ἐπὶ τὴν Νεκρὰν θάλασσαν,
and going they-arrived at the Dead Sea
ὡς ἐπὶ τὸν λεγόμενον Ἀρνονᾶν.
as(-it-were) at the(-place) called Arnonas
Τοῦ Θεοῦ δὲ οἰκονομήσαντος, καὶ μηδέποτε τοὺς εἰς αὐτὸν 21
— God and having-arranged(-it) and never those in him
πιστεύοντας ὁλοψύχως ἐγκαταλιμπάνοντος, εὗρον τόπον,
believing wholeheartedly forsaking they-found (a)-place
ἔνθα ᾤκει τις γέρων, πρὸ ὀλίγων ἡμερῶν τελευτήσας,
where dwelt a-certain old-man before few days having-died
ἐν ᾧ ὑπῆρχον καὶ μικρὰ σκεύη, καὶ βοτάναι τρυφεραὶ
in which there-were also small vessels and herbs tender
εἰς τὸ ἐσθίειν αὐτοὺς, ἐξ ὧν ἤσθιεν ὁ γέρων, ὁ
for the to-eat them of which ate the old-man the(-one)
ἐκεῖσε κείμενος. Ἰδόντες οὖν τὸν τόπον οἱ ἀοίδιμοι,
there lying having-seen then the place the celebrated(-ones)
εὐφράνθησαν, ὥς τινα θησαυρὸν εὗρον. Ἔγνωσαν γὰρ
rejoiced as(-if) some treasure they-found they-knew for
ὅτι ὑπὸ Θεοῦ ἡτοιμάσθη, καὶ ἐπέμφθη αὐτοῖς, καὶ ἤρξαντο
that by God it-was-prepared and sent to-them and they-began
εὐχαριστεῖν τῷ Θεῷ, καὶ τῷ μεγάλῳ γέροντι. Ἔλεγον
to-give-thanks — to-God and to-the great old-man they-said
γάρ· Πίστευσον, δι᾽ εὐχῶν αὐτοῦ κατευοδώθημεν. Ὡς
for believe(-me) through prayers his we-were-prospered as
οὖν ἔμειναν ὀλίγας ἡμέρας, μὴ φέρων τὴν ἀρετὴν τῶν
then they-stayed few days not bearing the virtue of-the
Χριστοῦ δούλων ὁ ἐχθρὸς τῶν ψυχῶν ἡμῶν διάβολος,
of-Christ servants the enemy of-the souls our (the)-devil
ἤρξατο πολεμεῖν αὐτοὺς, τὸν μὲν Ἰωάννην εἰς τὴν ἑαυτοῦ
began to-war-against them — indeed John over the his-own
γυναῖκα, τὸν δὲ Συμεὼν εἰς τὴν ἀγάπην τὴν πολλὴν τῆς
wife — and Symeon over the love the great of-the

ἑαυτοῦ μητρός. Ὅτε οὖν ἔβλεπεν ἑαυτὸν εἷς ἐξ αὐτῶν
his-own mother when then saw himself one of them
θλιβόμενον, εὐθέως ἔλεγεν τῷ ἑτέρῳ· Ἀνάστα, ἀδελφὲ,
afflicted at-once he-said to-the other arise brother
εὐξώμεθα. Καὶ ηὔχοντο τὴν εὐχὴν τοῦ μεγάλου γέροντος·
let-us-pray and they-prayed the prayer of-the great old-man
ηὔξατο γὰρ, ὅτι Δὸς αὐτοῖς, Κύριε, τοὺς λόγους τῆς
he-had-prayed for that give to-them Lord the words of-the
εὐχῆς ταύτης ἐν τῇ καρδίᾳ αὐτῶν. Καὶ εὐθέως οἱ δύο
prayer this in the heart their and at-once the two
εὑρέθησαν, γινώσκοντες αὐτὴν ἐκ στήθους, καὶ αὐτὴν
were-found knowing it by heart and it
ηὔχοντο πάντοτε εἰς ἕκαστον πειρασμὸν, καὶ εἰς ἕκαστον
they-prayed always in each temptation and in each
αἴτημα αὐτῶν πρὸς τὸν Θεόν. Ἔστιν γὰρ ὅτε ἐπύρου
request their to — God it-is for when inflamed
αὐτοὺς ὁ διάβολος, ὡς ἐξηγεῖτο ὁ θεοφόρος Σαλὸς,
them the devil as related the God-bearing Fool
ὡς ἐὰν κρέα καὶ οἶνον ἤσθιον, καὶ πάλιν ὑπέβαλλεν
as if meat and wine they-were-eating and again he-suggested
αὐτοῖς παρὰ τὰς ἀρχὰς δειλίαν, καὶ ἀκηδίαν πρὸς τὴν
to-them at the beginnings cowardice and listlessness toward the
ἄσκησιν, ὥστε διαφόρως ἐπιζητεῖν αὐτοὺς ὑποστρέφειν εἰς
discipline so-that variously to-seek them to-return to
τὸ μοναστήριον ἀπὸ τῆς ἐρήμου, πάλιν δὲ κατὰ τοὺς
the monastery from the desert again and in the
ὕπνους θεωρεῖν. Ἔστιν δὲ ὅτε καὶ ἐν φαντασίᾳ τοὺς
sleeps to-see it-is and when also in apparition the
ἑαυτῶν ἰδίους, τοὺς μὲν κλαίοντας, τοὺς δὲ εὐωχηθέντας
their-own own(-people) those indeed weeping those and feasting
παρεσκεύαζεν ὁ πολύμορφος ὄφις, καὶ πολλὰ ἕτερα, ἃ
contrived the many-shaped serpent and many other(-things) which

οὐδὲ ἐξηγήσασθαι δυνατὸν, εἰ μὴ τούτων τῶν πειρασμῶν
not-even to-relate (is)-possible if not of-these the temptations
ἐν πείρᾳ γίνεταί τις. Ἀλλ' ἡνίκα δ' ἂν ἐμνημόνευον
in experience comes one but whenever and — they-remembered
τῶν στεφάνων, οὓς εἰς ἀλλήλους ἐθεάσαντο, καὶ τῆς
the crowns which on one-another they-had-seen and the
διδασκαλίας, καὶ τῶν δακρύων τοῦ γέροντος, ὥσπερ ἐλαίῳ
teaching and the tears of-the old-man as with-oil
ἁγίῳ κατεπραΰνετο αὐτῶν ἡ καρδία, καὶ παρεκαλεῖτο.
holy was-soothed their the heart and was-comforted

IV · THE TWO MOTHERS

Nicon appears to them in dreams, teaching them psalms they wake knowing. After two years Symeon learns that his mother no longer grieves, since he appears to her by night and tells her in Syriac that he and John serve in the king's palace, crowned; a man in white tells John that his father is comforted and his wife will soon be taken. They pray unceasingly, a stone's throw apart, meeting whenever thoughts or listlessness come. In ecstasy Symeon sees his mother sick in Edessa and bids her go to the king, who has prepared her a place. Knowing she has died, he runs weeping to John and prays over her labors, her sleepless nights, and the day he fled her. Later John sees Symeon's mother lead his wife away to the house the king has given, and knows she too has died. They stay twenty-nine years in the desert, and Symeon comes to fear neither passion, cold, hunger, nor heat.

Ἐφαίνετο δὲ αὐτοῖς κατ' ὄναρ καὶ ὁ κύριος Νίκων, 22
appeared and to-them in dream also the lord Nicon
ὁτὲ μὲν νουθετῶν αὐτοῖς, ὁτὲ δὲ προσευχόμενος
at-one-time indeed admonishing them at-another and praying
ὑπὲρ αὐτῶν, ἔστι δὲ ὅτε καὶ ψαλμοὺς αὐτοὺς διδάσκων· καὶ
for them it-is and when also psalms them teaching and
ἐξυπνίζοντο ἀποστηθίζοντες ὅσα κατὰ τοὺς ὕπνους αὐτοὺς
they-woke reciting-by-heart whatever in the sleeps them

ἐδίδασκεν, καὶ εἶχον χαρὰν ἐπὶ τοῦτο μεγάλην. Ἐγίνωσκον
he-taught and they-had joy at this great they-knew
γὰρ ὅτι πονεῖ ὁ γέρων δι᾽ αὐτοὺς, καὶ ἐπληροφοροῦντο
for that toils the old-man because-of them and they-were-assured
ἐξ αὐτῶν τῶν πραγμάτων. Καὶ γὰρ πρὸ πάσης αἰτήσεως
from very the events and for before every request
ἐκ Θεοῦ τοῦτο πρὸ πάντων αἰτησαμένων ἀμφοτέρων, τοῦ
from God this before all having-asked both —
μὲν Συμεὼν, ἵνα παρακληθῇ ἡ καρδία τῆς μητρὸς αὐτοῦ,
indeed of-Symeon that be-comforted the heart of-the mother his
καὶ πληροφορηθῇ· τοῦ δὲ Ἰωάννου, ἵνα προσλάβηται
and be-assured — and of-John that take-to-himself
ὁ Θεὸς τὴν αὐτοῦ σύμβιον, πρὸς τὸ ἀποκοπῆναι τὴν
— God the his wife for the to-be-cut-off the
σχέσιν αὐτῆς ἀπὸ τῆς ἐννοίας αὐτοῦ, εἰσήκουσεν ὁ Θεὸς
attachment her from the mind his heard — God
ἀμφοτέρων, ὁ εἰπὼν θέλημα τῶν φοβουμένων αὐτὸν
both the(-one) having-said (the)-will of-those fearing him
ποιῆσαι. Καὶ δύο ἐτῶν παρελθόντων, ἐπληροφορήθη ὁ
to-do and two years having-passed was-assured the
κῦριος Συμεὼν ἐκ Θεοῦ, ὅτι ἄλυπός ἐστιν ἡ μήτηρ
lord Symeon from God that free-of-grief is the mother
αὐτοῦ περὶ αὐτοῦ, καὶ ὅτι φαίνεται αὐτῇ κατὰ νύκτα, καὶ
his about him and that he-appears to-her by night and
παραμυθεῖται αὐτὴν, καὶ λέγει αὐτῇ τῇ Σύρων διαλέκτῳ·
comforts her and says to-her in-the of-Syrians tongue
Λαδέχρε, λιχὲμ, ὅ ἐστιν, Μὴ λυποῦ, μῆτερ· καὶ γὰρ
ladekhre likhem which is not grieve mother and for
καλῶς ἐσμεν κἀγὼ, καὶ ὁ κῦριος Ἰωάννης, καὶ ὑγιαίνομεν,
well we-are both-I and the lord John and we-are-in-health
καὶ ἐστρατεύθημεν εἰς τὸ παλάτιον τοῦ βασιλέως, καὶ ἰδοὺ
and we-enlisted into the palace of-the king and behold

στεφάνους φοροῦμεν, οὓς ἀνέδησεν ἡμᾶς ὁ βασιλεὺς, καὶ
crowns we-wear which crowned us the king and
στολὰς εὐπρεπεῖς. Ἀλλὰ παραμύθησαι καὶ τοὺς γονεῖς τοῦ
robes comely but comfort also the parents of-the
ἀδελφοῦ Ἰωάννου, ὅτι μετ' ἐμοῦ ἐστιν ἐστρατευμένος. Ἀλλὰ
brother John that with me he-is enlisted but
μηδὲν λυπηθῆτε. Καὶ ὁ ἀββᾶς δὲ Ἰωάννης εἶδεν ὅτι λέγει
nothing grieve and — abba and John saw that says
αὐτῷ τις λευχειμονῶν· Ἰδοὺ τὸν μὲν πατέρα σου ἄλυπον
to-him someone clothed-in-white behold the indeed father your free-of-grief
ἐποίησα, τὴν δὲ γυναῖκά σου ἐν ταύταις προσλαμβάνομαι.
I-have-made the and wife your in these(-days) I-take-to-myself
Ἐξηγήσαντο οὖν ἀλλήλοις ἃ ἐθεώρησαν ἀμφότεροι, καὶ 23
they-related then to-one-another what saw both and
ἐχάρησαν, καὶ εὐφράνθη αὐτῶν ἡ καρδία. Καὶ τέως ἐκ
they-rejoiced and was-gladdened their the heart and thenceforth from
τοῦ λογισμοῦ τῶν γονέων αὐτῶν εὐθέως ἐκούφισεν αὐτοὺς ὁ
the thought of-the parents their at-once relieved them —
Θεός. Καὶ λοιπὸν ἐν ἀνέσει ὑπῆρχον μηδὲ ὅλως λυπούμενοι
God and thereafter in ease they-were not at-all grieving
περὶ αὐτῶν. Ἀλλ' ἀπόνως καὶ ἀόκνως τὸν τῆς ἀσκήσεως
about them but without-toil and without-sloth the of-the discipline
καὶ ἡσυχίας διετέλουν δρόμον διὰ παντὸς, ἡμέρας καὶ
and stillness they-continued course through all day and
νυκτὸς, εἰ μὴ τὸν ἀπερίσπαστον πειρασμὸν, καὶ τὴν
night if not the undistracted trial and the
ἀμέριμνον μέριμναν, λέγω δὴ τῆς ἀδιαλείπτου προσευχῆς,
carefree care I-mean indeed of-the unceasing prayer
δι' ἧς καὶ διὰ συντομίας προέκοψαν οἱ ἄοκνοι ἐργάται,
through which also with speed advanced the unslothful workers
ὥστε ἐν ὀλίγοις χρόνοις ἀξιωθῆναι αὐτοὺς θείων
so-that in few years to-be-deemed-worthy them of-divine

ὁράσεων, καὶ πληροφοριῶν καὶ θαυμάτων. Μικροῦ γὰρ
visions and assurances and miracles little for
χρόνου παρελθόντος, καὶ ἀμφοτέρων ἡσυχαζόντων, ὡς ἀπὸ
time having-passed and both being-still as from
λίθου βολῆς ἀλλήλων. Ἦσαν γὰρ καὶ τοῦτο ἑαυτοῖς
(a)-stone's throw of-one-another they-had for also this for-themselves
διατυπώσαντες, τοῦτ' ἔστι τὸ ἀναχωρεῖν κατ' ἰδίαν, ὅτε
having-laid-down that is the to-withdraw in private when
βούλεται ὁ καθεὶς ἐξ αὐτῶν κατὰ μόνας εὔξασθαι. Ἡνίκα
wishes — each of them in private to-pray whenever
δὲ ἔλθωσιν αὐτῷ λογισμοὶ ἢ ἀκηδία, ἔρχεσθαι αὐτὸν
and come to-him thoughts or listlessness to-come him
πρὸς τὸν ἕτερον καὶ κοινῶς τὸν Θεὸν παρακαλεῖν τοῦ
to the other and together — God to-beseech for-the
ἀπαλλαγῆναι τοῦ πειρασμοῦ. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν
to-be-released from-the temptation on one then of-the days
καθήμενος ὁ Συμεὼν ἐν τῷ εἰθισμένῳ αὐτῷ τόπῳ, θεωρεῖ
sitting — Symeon in the accustomed by-him place sees
ἑαυτὸν ἐν ἐκστάσει, ὥσπερ παρεῖναι πρὸς τὴν ἑαυτοῦ
himself in ecstasy as-if to-be-present with the his-own
μητέρα ἀσθενοῦσαν ἐν Ἐδέσῃ (ἐκεῖθεν γὰρ ἦν), καὶ λέγει
mother being-sick in Edessa from-there for he-was and says
αὐτῇ τῇ Σύρᾳ φωνῇ· Πῶς ἔχεις, μῆτερ; Τῆς δὲ εἰπούσης,
to-her in-the Syrian tongue how are-you mother she and having-said
Καλῶς, τέκνον, λέγει αὐτῇ πάλιν· Ὕπαγε πρὸς τὸν
well child says to-her again go to the
βασιλέα, μὴ φοβηθῇς, ὅτι παρεκάλεσα αὐτὸν, καὶ ἡτοίμασέν
king not fear for I-besought him and he-prepared
σοι καλὸν τόπον, καὶ ὅτε βούλεται, φθάνω σε ἐκεῖ.
for-you (a)-fair place and when he-wills I-overtake you there

Εἰς ἑαυτὸν δὲ ἐλθὼν, ἔγνω τῇ αὐτῇ ὥρᾳ τελευτῆσαι 24
to himself and having-come he-knew at-the same hour to-have-died
τὴν μητέρα αὐτοῦ, καὶ δρομέως ἐλθὼν πρὸς τὸν ἀδελφὸν
the mother his and running having-come to the brother
Ἰωάννην, λέγει αὐτῷ· Ἀνάστα, κῦρι, ποιήσομεν εὐχήν. Τοῦ
John says to-him arise lord we-shall-make prayer he
δὲ ταραχθέντος (ἐδόκει γὰρ πειρασμόν τινα συμβῆναι τῷ
and having-been-troubled he-thought for temptation some to-have-befallen —
Συμεὼν), λέγει αὐτῷ Συμεὼν· Μηδὲν ταραχθῇς, ἀδελφέ· οὐδὲ
to-Symeon says to-him Symeon nothing be-troubled brother not
γὰρ ἔχω τί ποτε κακὸν διὰ τοῦ Θεοῦ. Πάλιν οὖν λέγει
for I-have anything at-all bad through — God again then says
αὐτῷ ὁ Ἰωάννης· Καὶ τίς ἡ αἰτία τοῦ τοσούτου σου δρόμου,
to-him — John and what the cause of-the so-great your running
Πάτερ Συμεών; Πάνυ γὰρ ἐτίμα καὶ ἐσέβετο αὐτὸν, ὥσπερ
Father Symeon very-much for he-honored and revered him as
κἀκεῖνος. Τότε περιχυθέντων αὐτοῦ τῶν ὀφθαλμῶν ἀπὸ τῶν
that(-one)-too then being-flooded his the eyes with the
δακρύων, καὶ ἀρξαμένων κατέρχεσθαι ὥσπερ μαργαριτῶν ἐπὶ
tears and having-begun to-run-down like pearls onto
τὸ στῆθος αὐτοῦ, λέγει αὐτὸς τῷ Ἰωάννῃ· Ἄρτι τὴν καλήν
the breast his says he — to-John now the good
μου μητέρα καὶ εὐλογημένην ὁ Κύριος προσλαμβάνεται.
my mother and blessed the Lord takes-to-himself
Καὶ ἐξηγήσατο αὐτῷ τὴν ὀπτασίαν, καὶ κλινάντων αὐτῶν
and he-related to-him the vision and having-bent they
τὰ γόνατα, ηὔχοντο. Καὶ ἦν ἀκοῦσαι τοῦ Συμεὼν
the knees they-prayed and it-was(-possible) to-hear — Symeon
λέγοντος πρὸς τὸν Θεὸν ἐλεεινοὺς ὄντως καὶ παρακλητικοὺς
saying to — God piteous truly and beseeching
λόγους· συνεστρέφοντο γὰρ καὶ διεταράσσοντο τὰ σπλάγχνα
words were-wrung for and were-troubled the bowels

αὐτοῦ ὑπὸ τῆς φύσεως κινούμενα, καὶ ἐβόα· Ὁ Θεὸς,
his by the nature moved and he-cried O God
ὁ τὴν θυσίαν τοῦ Ἀβραὰμ δεξάμενος, ὁ τὴν
the(-one) the sacrifice — of-Abraham having-accepted the(-one) the
ὁλοκαύτωσιν Ἰεφθάε ἐπιβλέψας, ὁ τὰ δῶρα τοῦ Ἄβελ
burnt-offering of-Jephthah having-regarded the(-one) the gifts — of-Abel
μὴ βδελυξάμενος, ὁ διὰ τὸν Σαμουὴλ τὸν παῖδά
not having-abhorred the(-one) because-of — Samuel the servant
σου τὴν Ἄνναν προφήτιδα ἀναδείξας, αὐτὸς, Κύριέ μου,
your — Anna (a)-prophetess having-shown-forth you-yourself Lord my
Κύριε, δι᾽ ἐμὲ τὸν δοῦλόν σου πρόσδεξαι τὴν ψυχὴν
Lord for-the-sake-of me the servant your receive the soul
τῆς καλῆς μου μητρός. Μνήσθητι, Κύριε, κόπων αὐτῆς καὶ
of-the good my mother remember Lord (the)-labors her and
τῶν μόχθων, ὧν εἰς ἐμὲ ἐκοπίασεν· μνήσθητι, Κύριε, τῶν
the toils which for me she-labored remember Lord the
δακρύων, αὐτῆς καὶ τῶν στεναγμῶν, ὧν ἐξέχεεν, ὅτε
tears her and the groans which she-poured-out when
πρὸς σὲ ἐξ αὐτῆς ἔφυγον. Μνήσθητι, Κύριε, τῶν μαζῶν,
to you from her I-fled remember Lord the breasts
ὧν ἐθήλασεν ἐμὲ τὸν ταπεινὸν, ἵνα ἀπολαύσῃ τῆς
with-which she-suckled me the lowly(-one) that she-might-enjoy the
ἐμῆς νεότητος, καὶ οὐκ ἀπέλαυσεν. Μὴ ἐπιλάθῃ, Δέσποτα,
my youth and not she-enjoyed(-it) not forget Master
ὅτι οὐδὲ πρὸς ὥραν χωρισθῆναί μου ἐδύνατο, καὶ
that not-even for (an)-hour to-be-parted from-me she-could and
ἐχωρίσθη μου ὅλον τὸν χρόνον. Μνημόνευσον, Δέσποτα,
she-was-parted from-me all the time remember Master
ὁ πάντα ἐπιστάμενος, ὅτι, ὅτε ἐβούλετο χαρῆναι εἰς
the(-one) all(-things) knowing that when she-wished to-rejoice in
ἐμὲ, τότε αὐτῇ ἑαυτὸν διὰ τὸ ὄνομά σου ἐστέρησα.
me then her myself for-the-sake-of the name your I-deprived

Μὴ ἐπιλάθῃ, δίκαιε, τῶν διασπαραγμῶν τῶν σπλάγχνων
not forget just(-one) the rendings of-the bowels
αὐτῆς, ὧν ἔσχε τῇ ἡμέρᾳ, ὅτε πρὸς σὲ κατέφυγον.
her which she-had on-the day when to you I-fled
Γινώσκεις, Κύριε, πόσην ἀϋπνίαν ἐκτήσατο κατὰ πᾶσαν 25
you-know Lord how-much sleeplessness she-got through every
νύκτα μνημονεύουσα τῆς ἐμῆς νεότητος, ἐξότε αὐτὴν
night remembering the my youth since her
ἐγκατέλιπον. Σὺ οἶδας, Δέσποτα, πόσας νύκτας ἐποίησεν
I-forsook you know Master how-many nights she-spent
ἄϋπνος, ζητοῦσα τὸ συγκοιμώμενον αὐτῇ πρόβατον. Μὴ
sleepless seeking the sleeping-with her lamb not
ἐπιλάθῃ, φιλάνθρωπε, οἷος πόνος αὐτῆς περιεῖχε τὴν
forget lover-of-mankind what pain her gripped the
καρδίαν, ὅτε τὰ ἐμὰ ἱμάτια θεωροῦσα ἐστήσατο, διὰ
heart when the my garments seeing she-stood because-of
τὸ μηκέτι εἶναι τὸν μαργαρίτην αὐτῆς τὸν ταῦτα
the no-longer to-be the pearl her the(-one) these
ἐνδυνόμενον. Μνημόνευσον, Δέσποτα, ὅτι τὴν ἐξ ἐμοῦ
putting-on remember Master that the from me
παραμυθίαν, καὶ χαρὰν, καὶ ἀγαλλίασιν ἐστέρησα αὐτὴν,
comfort and joy and gladness I-deprived her
ἵνα σοι τῷ ἐμῷ καὶ αὐτῆς Θεῷ καὶ Δεσπότῃ τῶν ἁπάντων
that you the my and her God and Master of-the all
δουλεύσω. Δὸς αὐτῇ ἀγγέλους διασώζοντας αὐτῆς τὴν ψυχὴν
I-might-serve give her angels preserving her the soul
ἐκ τῶν πνευμάτων καὶ θηρίων τοῦ ἀέρος τούτου τῶν
from the spirits and beasts of-the air this the
πονηρῶν καὶ ἀνελεημόνων, τῶν ἐπιχειρούντων καταπιεῖν
wicked and merciless the(-ones) attempting to-swallow
πάντας τοὺς δι᾽ αὐτῶν παρερχομένους. Ἐξαπόστειλον
all those through them passing send-forth

αὐτῇ, Κύριε, Κύριε, φύλακας ἰσχυροὺς ἐπιτιμῶντας πάσῃ
to-her Lord Lord guards strong rebuking every
ἀκαθάρτῳ δυνάμει. Συναντήσῃ αὐτῇ καὶ ἀλύπως καὶ
unclean power let-it-meet her also painlessly and
ἀβασανίστως. Ὁ Θεός μου, κέλευσον διαχωρισθῆναι αὐτῆς
without-torment O God my command to-be-separated her
τὴν ψυχὴν ἐκ τοῦ σώματος, καὶ εἴ τι ὡς γυνὴ ἐν ἔργῳ,
the soul from the body and if anything as woman in deed
ἢ λόγῳ ἥμαρτεν ἐν τῷδε τῷ βίῳ, συγχώρησον τῇ ψυχῇ
or word she-sinned in this the life forgive the soul
αὐτῆς, ὑπὲρ τῆς θυσίας, ἧς ἐγέννησεν, καὶ προσήνεγκέν
her for the sacrifice which she-bore and offered
σοι, Δέσποτα, ἐμὲ τὸν ἀνάξιον δοῦλόν σου, ναὶ, Κύριε
to-you Master me the unworthy servant your yes Lord
ὁ Θεός μου, ὁ δίκαιος κριτὴς καὶ φιλάνθρωπος. Μὴ
O God my the just judge and lover-of-mankind not
εἰσενέγκῃς αὐτὴν ἀπὸ θλίψεως εἰς θλῖψιν, καὶ ἀπὸ ὀδύνης
bring her from affliction into affliction and from pain
εἰς ὀδύνην, ἀπὸ στεναγμῶν εἰς στεναγμοὺς, ἀλλ' ἀντὶ
into pain from groans into groans but instead-of
λύπης, ἧς ἐλυπήθη διὰ τὸν μονογενῆ αὐτῆς, εἰς χαρὰν,
grief which she-grieved because-of the only-begotten her into joy
ἀντὶ δακρύων εἰς ἀγαλλίασιν τὴν ἡτοιμασμένην τοῖς
instead-of tears into gladness the(-one) prepared for-the
ἁγίοις σου, ὁ Θεὸς, ὁ Θεός μου, εἰς τοὺς αἰῶνας. Ἀμήν.
saints your O God O God my to the ages amen

26 Τῶν αὐτῶν ἐκ τῆς εὐχῆς, ἤρξατο ὁ ἀδελφὸς
— they(-having-risen) from the prayer began the brother
Ἰωάννης παραμυθεῖσθαι αὐτὸν καὶ λέγειν· Ἰδοὺ, ἀδελφὲ
John to-comfort him and to-say behold brother
Συμεὼν, ἐπληροφόρησέν σε ὁ Θεὸς, καὶ εἰσήκουσεν τῆς
Symeon has-assured you — God and heard the

εὐχῆς σου, καὶ προσελάβετο τὴν σὴν μητέρα. Ἀλλ' ἄρτι
prayer your and took-to-himself the your mother but now
συγκοπίασόν μοι, καὶ εὐξώμεθα διὰ τὸν Κύριον οἱ
labor-with me and let-us-pray for-the-sake-of the Lord the
ἀμφότεροι, ἵνα ποιήσῃ ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ μετὰ
both that may-work — God the mercy his also with
τῆς κατὰ συγχώρησιν Θεοῦ ὀνομασθείσης γυναικός μου,
the by permission of-God named wife my
ἵνα καὶ αὐτὴν φέρῃ ὁ Θεὸς εἰς λογισμὸν τοῦ μοναχικοῦ
that also her bring — God to (the)-thought of-the monastic
σχήματος, ἢ ποιήσῃ τὸ ἔλεος αὐτοῦ, καὶ λάβῃ αὐτήν.
habit or work the mercy his and take her
Καὶ ὡς ηὔξαντο ἐπὶ ὀλίγον χρόνον, ἐν μιᾷ νυκτὶ θεωρεῖ
and as they-prayed for little time on one night sees
ὁ ἀββᾶς Ἰωάννης τὴν μητέρα τοῦ Συμεὼν ἐλθοῦσαν, καὶ
— abba John the mother — of-Symeon having-come and
κρατήσασαν τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ, καὶ λέγουσαν
having-taken-hold of-the hand of-the wife his and saying
αὐτῇ· Ἀνάστα, ἀδελφὴ, ἐλθὲ ἐγγύς μου, ὅτι καλὸν οἶκον
to-her arise sister come near me for fair house
ἐχαρίσατό μοι ὁ βασιλεὺς ὁ στρατεύσας τὸν υἱόν
has-given me the king the(-one) having-enlisted the son
μου, εἰς δουλείαν αὐτοῦ. Ἀλλὰ ἄλλαξον τὰ ἱμάτιά σου,
my into service his but change the garments your
καὶ φόρεσον καθαρά. Καὶ ἀνέστη εὐθέως, καὶ ἀκολούθησεν
and wear clean(-ones) and she-rose at-once and followed
αὐτῇ, καὶ ἔγνω ὅτι ἐτελεύτησεν καὶ αὐτὴ, καὶ ὅτι αἱ δύο
her and he-knew that had-died also she and that the two
εἰς καλὸν τόπον εἰσὶν, καὶ ἐχάρη χαρὰν μεγάλην σφόδρα.
in fair place are and he-rejoiced (with)-joy great exceedingly
Καὶ ὡς διετέλεσαν εἰς τὴν ἔρημον ἀσκοῦντες ἐν πάσῃ
and as they-continued in the desert practicing-discipline in every

ἀσκήσει, καὶ κακοπαθείᾳ, καὶ ψύχει, καὶ καύσωνι ἐπὶ εἴκοσι
discipline and hardship and cold and heat for twenty
ἐννέα ἔτη, πολλοὺς καὶ ἀφάτους πειρασμοὺς, ὑπομείναντες
nine years many and unspeakable temptations having-endured
ἐκ τοῦ διαβόλου, καὶ τοῦτον νικήσαντες, μάλιστα ὁ
from the devil and him having-conquered especially —
Συμεὼν ἐκ τῆς προσούσης αὐτῷ ἀκακίας καὶ καθαρότητος.
Symeon from the present in-him guilelessness and purity
Ἠσθάνετο γὰρ ἑαυτὸν διὰ τῆς ἐνοικούσης ἐν αὐτῷ τοῦ
he-perceived for himself through the dwelling in him of-the
ἁγίου Πνεύματος δυνάμεως, μήτε πάθος φοβούμενον, μήτε
holy Spirit power neither passion fearing nor
ψύχος, ἢ πεῖναν, ἢ καύσωνα, ἀλλὰ σχεδὸν ὑπὲρ τὰ μέτρα
cold or hunger or heat but almost beyond the measures
τῆς φύσεως τῆς ἀνθρωπίνης γενόμενον.
of-the nature the human having-become

IV · THE BROTHERS PART

Symeon tells John that in the desert they profit no one but themselves, and he will go in Christ's power to mock the world and save others. John pleads with him to stay, then, seeing he is assured by God, warns him: let the world not scatter what the desert gathered, nor the soul do what the body does. Symeon promises to come for John before he dies. They part, and each bidding to turn back cuts like a sword. After three days at the holy places, praying that his work stay hidden until his death, Symeon reaches Emesa; God, Leontios says, hid his deeds and later made them known.

27 Λέγει τῷ Ἰωάννῃ· Τί ὠφελούμεθα λοιπὸν, ἀδελφὲ, ἐν
he-says — to-John what do-we-profit further brother in
τῇ ἐρήμῳ ταύτῃ διατρίβοντες; Ἀλλ' ἐὰν ἀκούσῃς μου,
the desert this spending-time but if you-listen-to me

ἀνάστα, ἀπέλθωμεν, σώσωμεν καὶ ἄλλους. Ὧδε γὰρ εἰ μὴ
arise let-us-go-away let-us-save also others here for if not
ἑαυτοὺς μόνους, ἕτερόν τινα οὐκ ὠφελοῦμεν, καὶ μισθὸν
ourselves alone other anyone not we-profit and reward
παρά τινος οὐκ ἔχομεν. Καὶ ἤρξατο λέγειν αὐτῷ, καὶ
from anyone not we-have and he-began to-say to-him also
ἐκ τῆς ἁγίας Γραφῆς τινα τοιαῦτα· «Μηδεὶς τὸ ἑαυτοῦ
from the holy Scripture some such(-words) no-one the his-own
ζητείτω, ἀλλὰ τὸ τοῦ πλησίου.» Καὶ πάλιν· «Τοῖς πᾶσιν
let-him-seek but the of-the neighbor and again to-the all
πάντα γέγονα, ἵνα πάντως τινὰς σώσω.» Καὶ ἐκ
all(-things) I-have-become that by-all-means some I-may-save and from
τοῦ Εὐαγγελίου· «Ὅτι οὕτως λαμψάτω τὸ φῶς ὑμῶν
the Gospel that thus let-shine the light your
ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ
before the men so-that they-may-see your the good
ἔργα καὶ δοξάσωσιν τὸν Πατέρα ὑμῶν, τὸν ἐν τοῖς
works and glorify the Father your the(-one) in the
οὐρανοῖς·» καὶ ἄλλα τινὰ τοιαῦτα. Καὶ ἀποκριθεὶς ὁ
heavens and other some such(-words) and having-answered the
Κύριος Ἰωάννης, λέγει αὐτῷ· Νομίζω, ἀδελφὲ, ὁ Σατανᾶς
lord John says to-him I-think brother — Satan
ἐφθόνησεν τὴν ἡσυχίαν ἡμῶν, καὶ ὑπέβαλέν σοι τὸν
envied the stillness our and suggested to-you the
λογισμὸν τοῦτον. Τουναντίον κάθισον, καὶ τὸν δρόμον
thought this on-the-contrary sit and the course
ἡμῶν, ὅπου ἐκλήθημεν ὑπὸ τοῦ Θεοῦ, εἰς τὴν ἔρημον
our where we-were-called by — God into the desert
ταύτην πληρώσωμεν. Λέγει αὐτῷ ὁ Συμεὼν· Πίστευσον,
this let-us-fulfill says to-him — Symeon believe(-me)
ἐγὼ οὐ μένω, ἀλλ' ἐν τῇ δυνάμει τοῦ Χριστοῦ ὑπάγω,
I not stay but in the power — of-Christ I-go

ἐμπαίζων τῷ κόσμῳ. Λέγει αὐτῷ πάλιν ὁ ἀδελφὸς αὐτοῦ·
mocking the world says to-him again the brother his
Μὴ, ἀδελφὲ καλὲ, παρακαλῶ σε διὰ τὸν Κύριον, μὴ
no brother good I-beseech you for-the-sake-of the Lord not
ἐάσῃς με τὸν ταπεινόν. Οὔπω γὰρ ἐγὼ εἰς τοῦτο τὸ μέτρον
leave me the lowly(-one) not-yet for I to this the measure
ἔφθασα, ἵνα δυνηθῶ ἐμπαῖξαι τῷ κόσμῳ. Ἀλλὰ δι'
have-come that I-can to-mock the world but for-the-sake-of
αὐτὸν τὸν ζεύξαντα ἡμᾶς μὴ θελήσῃς ἀποζευχθῆναι
him the(-one) having-yoked us not wish to-be-unyoked
τοῦ σοῦ ἀδελφοῦ. Σὺ οἶδας, ὅτι μετὰ Θεὸν οὐδένα
from-the your brother you know that after God no-one
ἔχω, εἰ μὴ σὲ, ἀδελφέ μου, ἀλλὰ πάντας ἠρνησάμην
I-have if not you brother my but all I-denied
καὶ προσεκολλήθην σοι· καὶ ἄρτι σὺ θέλεις, ὥσπερ ἐν
and I-clove to-you and now you wish as in
πελάγει, ἐᾶσαί με εἰς τὴν ἔρημον ταύτην; Μνημόνευσον
(the)-open-sea to-leave me in the desert this remember
τῆς ἡμέρας ἐκείνης, ὅτε ἐλάχομεν, καὶ κατηρχόμεθα ἐπὶ
the day that when we-cast-lots and were-going-down to
τὸν κῦριν Νίκωνα, ὅτι συνεθέμεθα; μὴ χωρίζεσθαι ἀπ'
the lord Nicon that we-agreed not to-be-parted from
ἀλλήλων. Μνημόνευσον τῆς φοβερᾶς ὥρας, ὅτε τὸ ἅγιον
one-another remember the fearful hour when the holy
σχῆμα ἐνεδύθημεν, καὶ ἦμεν οἱ δύο ὥσπερ μία ψυχὴ, ὥστε
habit we-put-on and we-were the two as one soul so-that
πάντας ξενίζεσθαι ἐπὶ τῇ ἀγάπῃ ἡμῶν. Μὴ ἐπιλάθῃ τῶν
all to-be-amazed at the love our not forget the
to-her who are you and how did-you-dare to-come-in over me
ὡς κοιμῶμαι;' εἶχεν δὲ καὶ στέφανον ἐξ ἐλαιοκλάδων ἐπὶ
as I-sleep she-had and also (a)-crown of olive-branches on
τὴν κεφαλὴν αὐτῆς. τότε ἐκείνη ἱλαρῷ τῷ προσώπῳ καὶ
the head her then she with-cheerful the face and
μειδιῶσα τοῖς χείλεσιν λέγει μοι· ''Εγὼ εἰμὶ ἡ πρώτη
smiling with-the lips says to-me I am the first
τῶν θυγατέρων τοῦ βασιλέως.' ὡς δὲ ταῦτα ἤκουσα,
of-the daughters of-the king when and these(-things) I-heard
εὐθέως προσεκύνησα αὐτήν. τότε λέγει μοι· ''Εὰν κτήσῃ
at-once I-bowed-before her then she-says to-me if you-acquire
με φίλην, ἐγὼ εἰσφέρω σε ἐνώπιον τοῦ βασιλέως. καὶ γὰρ
me (as)-friend I bring you before the king and for
οὐδεὶς ἔχει παρρησίαν πρὸς αὐτὸν, ὡς ἐγώ. ἐπὶ τῆς γῆς
no-one has freedom-of-speech toward him as I on the earth
γὰρ ἐποίησα αὐτὸν ἐγὼ ἐνανθρωπῆσαι καὶ σῶσαι τοὺς
for made him I to-become-man and to-save the
ἀνθρώπους.' καὶ ταῦτα εἰποῦσα ἀφανὴς ἐγένετο. ἐγὼ οὖν
men and these(-things) having-said invisible she-became I then

εἰς ἑαυτὸν ἐλθὼν συνῆκα τὸ ὅραμα καὶ εἶπον· Πίστευσον.
to myself having-come understood the vision and I-said believe
ἡ συμπάθεια ἤγουν ἡ ἐλεημοσύνη ἐστὶν καὶ διὰ τοῦτο
the compassion that-is the almsgiving it-is and because-of this
εἶχεν εἰς τὴν κεφαλὴν ἐξ ἐλαίας φύλλων τὸν στέφανον.
she-had on the head of olive leaves the crown
καὶ γὰρ ὡς ἀληθῶς ἡ πρὸς ἀνθρώπους συμπάθεια καὶ
and for as truly the toward men compassion and
εὐσπλαγχνία τὸν κύριον σαρκοφορῆσαι ἐποίησεν.' εὐθέως
tenderness the Lord to-bear-flesh made at-once
οὖν ἐφόρεσα καὶ μηδένα τοῦ οἴκου ἐξυπνίσας, εἰς τὴν
then I-dressed and no-one of-the house having-woken to the
ἐκκλησίαν ἀπῆλθον. ἦν γὰρ λοιπὸν αὖγος. καὶ ἐν τῷ
church I-went-off it-was for now dawn and in the
ἀπέρχεσθαί με συναντήσας ἀδελφῷ ῥιγῶντι, ἀποδυσάμενος
to-go-off me having-met (a)-brother shivering having-stripped-off
τὸ αἰγιόμαλλόν μου δέδωκα αὐτῷ, εἰπὼν εἰς ἑαυτόν·
the goat's-hair-cloak my I-gave(-it) to-him having-said to myself
' Ἰδοὺ ἐν τούτῳ γνώσομαι, εἰ ἄρα ἀληθής ἐστιν ἡ ὀπτασία,
behold in this I-will-know if then true is the vision
ἣν εἶδον, ἢ δαιμονιώδης.' καὶ τῆς ἀληθείας μαρτυρούσης,
which I-saw or demonic and the truth bearing-witness
οὔπω τὴν ἐκκλησίαν κατέλαβον, καὶ ἐξαίφνης συναντήσας
not-yet the church I-reached and suddenly having-met
μοί τις λευκοφόρος, δίδωσίν μοι ἀποκόμβιν ἑκατὸν
me a-certain(-man) white-clad gives me (a)-purse of-a-hundred
νομισμάτων λέγων· 'Λαβὲ ταῦτα, ἄδελφε, καὶ διοίκησον,
nomismata saying take these(-things) brother and dispose(-them)
ὡς θέλεις.' ἐγὼ δὲ ἀπὸ χαρᾶς ἐξάπινα ταῦτα δεξάμενος
as you-wish I and from joy suddenly these(-things) having-received
ἐστράφην, θέλων ἀποδοῦναι αὐτῷ τὸ ἀποκόμβιν, ὡς μὴ
turned wishing to-give-back to-him the purse as not

δεόμενος, καὶ οὐκέτι εἶδόν τινα. τότε εἶπον· ‘Ἀληθῶς
needing and no-longer I-saw anyone then I-said truly
οὐκ ἦν φαντασία.’ ἐξ ἐκείνης οὖν πολλάκις ἐδίδουν
not it-was (an)-apparition from that(-time) then often I-gave
συναδέλφῳ τίποτε καὶ ἔλεγον· ‘Ἴδω, εἰ πέμπει ὁ θεὸς,
to-(a)-fellow-brother something and I-said let-me-see if sends — God
ὡς εἶπεν, ἑκατονταπλασίονα.’ καὶ ὡς ἐπείρασα τὸν θεὸν
as he-said a-hundredfold and when I-tested — God
κακῶς ποιῶν, καὶ ἐπληροφορήθην διαφόρως δι’ αὐτῶν
wrongly doing and was-assured variously through very
τῶν πραγμάτων, εἶπον· ‘Παῦσαι ἀθλία ψυχὴ πειράζουσα τὸν
the things I-said stop wretched soul testing the
ἀπείραστον.’ τοσαύτας οὖν πληροφορίας ἐχούσης ἐκ θεοῦ
untestable(-one) so-many then assurances having from God
τῆς ταπεινῆς μου ψυχῆς, οὗτοι οἱ ἄπιστοι τάχα σήμερον
the lowly my soul these the unbelieving perhaps today
ἦλθον σὺν αὐτοῖς κἀμὲ εἰς ἀσπλαγχνίαν προτρέψασθαι.”
came with them me-too to mercilessness to-urge

9 Ἔτι οὔσης τῆς αὐτῆς πληθύος ἐν τῇ πόλει τοῦ λαοῦ,
still being the same multitude in the city of-the people
τὶς τῶν ξένων θεωρῶν τὴν τοιαύτην αὐτοῦ συμπάθειαν,
one of-the strangers seeing the such his compassion
ἠθέλησεν πειράσαι τὸν μακάριον καὶ ἐνδυσάμενος ἱμάτια
wished to-test the blessed(-man) and having-put-on garments
παλαιὰ, προσέρχεται αὐτῷ ὑπάγοντι ἐπισκέψασθαι τοὺς
old comes to-him going to-visit those
τοῦ νοσοκομείου. δεύτερον γὰρ τῆς ἑβδομάδος ἢ καὶ
of-the hospital twice for of-the week or even
τρίτον ἀπήρχετο, καὶ λέγει πρὸς αὐτόν· “Ἐλέησόν με ὅτι
three-times he-went-off and says to him have-mercy-on me for
αἰχμάλωτος ὑπάρχω.” λέγει τῷ διαδότῃ· “Δὸς αὐτῷ ἓξ
(a)-captive I-am he-says to-the distributor give him six

νομίσματα." εἶτα ὡς ταῦτα ἔλαβεν, ὑπάγει καὶ ἀλλάσσει
nomismata then when these(-things) he-received he-goes and changes
τὸ σχῆμα καὶ ὑπαντᾷ αὐτῷ δι' ἄλλης καὶ προσπίπτει αὐτῷ
the dress and meets him by other(-way) and falls-before him
λέγων· " Ἐλέησόν με ὅτι στενοῦμαι." λέγει πάλιν ὁ πάπας
saying have-mercy-on me for I-am-hard-pressed says again the pope
τῷ διαδότῃ· "Δὸς αὐτῷ ἓξ νομίσματα." ὡς οὖν ἀπῆλθεν,
to-the distributor give him six nomismata when then he-went-off
λέγει τῷ πάπᾳ ὁ διαδότης εἰς τὸ οὖς αὐτοῦ· "Μὰ τὰς εὐχάς
says to-the pope the distributor into the ear his by the prayers
σου, δέσποτα, ὁ αὐτὸς ἔλαβεν καὶ τὸ δεύτερον." ἐποίησεν
your master the same(-man) received also the second(-time) made
δὲ ἑαυτὸν ὁ πατριάρχης μὴ γινώσκοντα. ἦλθεν οὖν ἐκ
and himself the patriarch not knowing came then from
τρίτου πάλιν λαβεῖν καὶ ἔνυξεν τὸν πάπαν ὁ τὸ χρυσίον
third(-time) again to-receive and nudged the pope the(-one) the gold
βαστάζων, σημαίνων αὐτῷ, τὸν αὐτὸν εἶναι· τότε ἀποκρίνεται
carrying signifying to-him the same to-be then answers
αὐτῷ ὁ θεοφιλὴς ἀληθῶς ἐλεήμων· "Δὸς αὐτῷ δώδεκα
him the God-beloved truly merciful(-man) give him twelve
νομίσματα, μήπως ὁ Χριστός μού ἐστιν καὶ πειράζει με."
nomismata lest — Christ my is(-he) and tests me

A ruined shipmaster receives five pounds of gold from John, then ten, and loses both cargoes, because he mixed the church's money with his own ill-gotten gains and sailed a ship built unjustly. John gives him one of the church's grain ships; storms drive it for twenty days to Britain, where the famine-struck people pay for the grain in coin or in tin, and the tin turns to silver. When his officials give a robbed man five pounds instead of the fifteen John ordered, a widow's note promising fifteen centenaria shows only five, the other ten erased by themselves, and the officials beg his pardon.

10 Ναύκληρός τις ξένος ἐφύρασεν καὶ προσελθὼν τῷ
ship-master a-certain foreign was-ruined and having-approached the
μακαρίῳ ἐδέετο μετὰ πολλῶν δακρύων ἵνα συμπαθήσῃ
blessed(-man) he-begged with many tears that he-would-have-compassion
αὐτῷ, ὡς καὶ πᾶσιν. ἐπιτρέπει οὖν λαβεῖν αὐτὸν πέντε
on-him as also on-all he-directs then to-take him five
λίτρας χρυσίου. καὶ ὡς ἔλαβεν ταύτας, ἀπελθὼν ἠγόρασεν
pounds of-gold and when he-received these having-gone-off he-bought
ἐνθήκην, καὶ ἐμβληθεὶς εἰς πλοῖον κατὰ σύμβασιν ἔξωθεν
(a)-cargo and having-embarked in (a)-ship by chance outside
τοῦ Φάρου εὐθέως ἐναυάγησεν. τὸ δὲ πλοῖον οὐκ ἀπώλεσεν.
— Pharos at-once was-wrecked the but ship not he-lost
προσέρχεται οὖν πάλιν αὐτῷ τεθαρρηκὼς τῇ ἀγαθῇ
he-approaches then again him having-taken-courage in-the good
αὐτοῦ γνώμῃ καὶ φησίν· "Ἐλέησόν με, ὡς ὁ θεὸς τὸν
his disposition and says have-mercy-on me as — God the
κόσμον." λέγει αὐτῷ ὁ πάπας· "Πίστευσον, ἄδελφε, εἰ μὴ
world says to-him the pope believe brother if not
συνέμιξας τοῖς χρήμασιν τῆς ἐκκλησίας τὰ λοιπασθέντα
you-had-mixed with-the moneys of-the church the remaining
σοι χρήματα, οὐκ ἐναυάγεις. ἀπὸ κακῶν γὰρ εἶχες
to-you moneys not you-would-be-wrecked from evil(-sources) for you-had

αὐτὰ καὶ συναπώλεσαν καὶ τὰ ἀπὸ καλῶν.”
them and they-destroyed-with(-them) also the(-moneys) from good(-sources)
πλὴν ἐπιτρέπει πάλιν δοθῆναι αὐτῷ δέκα λίτρας χρυσίου,
however he-directs again to-be-given to-him ten pounds of-gold
παραγγείλας αὐτῷ μὴ συμμίξαι αὐτοῖς ἄλλα χρήματα.
having-charged him not to-mix with-them other moneys
ἀγοράσας οὖν ἐνθήκην καὶ ἁρμενίσας ἡμέραν μίαν ἀνέμου
having-bought then (a)-cargo and having-sailed day one wind
βιαίου πνεύσαντος ἐξερρίφη εἰς τὴν γῆν, καὶ πάντα
violent having-blown he-was-cast-out onto the land and all
ἀπώλεσεν καὶ αὐτὸ τὸ πλοῖον καὶ οὐκ ἐσώθησαν εἰ μὴ
he-lost and very the ship and not were-saved if not
αἱ ψυχαὶ καὶ μόνον. ἠβουλήθη οὖν ἀπὸ αἰσχύνης καὶ
the souls and only wished then from shame and
στενώσεως ὁ αὐτὸς ναύκληρος ἀπάγξασθαι. ἀλλ’ ὁ θεὸς
distress the same ship-master to-hang-himself but — God
ὁ πάντοτε τῆς τῶν ἀνθρώπων προνοῶν σωτηρίας
the(-one) always of-the of-the men taking-thought-for salvation
ὑποτίθεται τῷ μακαριωτάτῳ πατριάρχῃ, καὶ ὡς ἤκουσεν
suggests(-it) to-the most-blessed patriarch and when he-heard
τὸ συμβὰν αὐτῷ δηλοῖ αὐτῷ μηδὲν τὸ σύνολον
the(-thing) having-happened to-him he-bids him nothing the at-all
διστάσαντα ἐλθεῖν πρὸς αὐτόν. τότε καταπασάμενος
having-hesitated to-come to him then having-sprinkled-himself-with
χοῦν καὶ τὸν χιτῶνα ἀπρεπῶς διαρρήξας προσέρχεται
dust and the tunic unseemly having-torn he-approaches
αὐτῷ. ὡς οὖν εἶδεν αὐτὸν ἐν τοιούτῳ σχήματι ὁ πάπας,
him when then saw him in such plight the pope
ἐμέμψατο αὐτὸν καὶ εἶπεν· “Ἱλεώς σοι κύριος. εὐλογητὸς
he-rebuked him and said gracious to-you (the)-Lord blessed
ὁ θεός. πιστεύω αὐτῷ ὅτι ἀπὸ σήμερον οὐ ναυαγεῖς,
— God I-believe him that from today not you-will-be-wrecked

ἕως οὗ ἀποθάνῃς. τοῦτο δέ σοι συνέβη, διότι καὶ αὐτὸ
until — you-die this and to-you happened because also very
τὸ πλοῖόν σου ἐξ ἀδικίας ἦν κτισθέν." εὐθέως οὖν
the ship your from injustice was built at-once then
ἐκέλευσεν παραδοθῆναι αὐτῷ ἕνα δόρκωνα δύο μυριάδων
he-ordered to-be-handed-over to-him one fast-ship of-two ten-thousands
γομάτον σίτου ἐκ τῶν πλοίων τῶν διαφερόντων τῇ
loaded of-grain from the ships the belonging to-the
κατ' αὐτὸν ἁγιωτάτῃ ἐκκλησίᾳ. ὃν παραλαβὼν ἐξῆλθεν
under him most-holy church which having-taken he-went-out
ἀπὸ Ἀλεξανδρείας καὶ διεβεβαιοῦτο ὁ αὐτὸς ναύκληρος,
from Alexandria and affirmed the same ship-master
ὅτι "Εἴκοσι νυχθήμερα ἠρμενίσαμεν, σφοδρῷ ἀνέμῳ μὴ
that twenty nights-and-days we-sailed with-violent wind not
δυνηθέντες ὅλως γνωρίσαι ποῦ ὑπάγομεν μήτε ἀπὸ ἄστρου
having-been-able at-all to-know where we-were-going neither from star
μήτε ἀπὸ τόπου. μόνον δὲ ὅτι ἐθεώρει ὁ κύβερνος τὸν
nor from place only but that saw the helmsman the
πάπαν σὺν αὐτῷ κρατοῦντα τὸν αὐχένα καὶ λέγοντα αὐτῷ·
pope with him holding the helm and saying to-him
'Μὴ φοβηθῇς. καλῶς ἁρμενίζεις.' μετὰ οὖν τὴν εἰκοστὴν
not be-afraid well you-sail after then the twentieth
ἡμέραν ἀνεφάνημεν ἐπὶ τὰς νήσους τῆς Βρεττανίας,
day we-came-in-sight at the islands — of-Britain
καὶ χαλασάντων ἡμῶν εἰς τὴν γῆν, εὕραμεν ἐκεῖ λιμὸν
and having-put-in we at the land we-found there famine
μέγαν. ὡς οὖν εἴπομεν τῷ πρώτῳ τῆς πόλεως, ὅτι
great when then we-said to-the first of-the city that
σῖτον γέμομεν, λέγει· 'Καλῶς ὁ θεὸς ἤγαγεν ὑμᾶς. εἴ
with-grain we-are-laden he-says well — God brought you if
τι θέλετε, ἐκλέξασθε ἢ ἑκάστῳ μοδίῳ νόμισμα ἓν ἢ
anything you-wish choose either for-each modius nomisma one or

ἀντίφορτον κασσίτερον.᾽ ἐξελεξάμεθα οὖν τὸ ἥμισυ οὕτως
(a)-return-cargo tin we-chose then the half thus
καὶ τὸ ἥμισυ οὕτως. πρᾶγμα δὲ ὑπάγει εἰπεῖν ὁ λόγος,
and the half thus (a)-thing and goes to-tell the account
τοῖς μὲν ἀπείροις τῶν δωρεῶν τοῦ θεοῦ δύσπιστον ἢ
to-the indeed inexperienced of-the gifts — of-God hard-to-believe or
ἄπιστον, τοῖς δὲ πεῖραν ἔχουσι τῆς αὐτοῦ θαυματουργίας
unbelievable to-the but experience having of-the his wonder-working
πιστὸν καὶ ἀπόδεκτον. ἀρμενίσαντος τοίνυν τοῦ πλοίου καὶ
credible and acceptable having-sailed therefore the ship and
ἐρχομένου πάλιν μετὰ χαρᾶς εἰς Ἀλεξάνδρειαν, ἐχαλάσαμεν
coming again with joy to Alexandria we-put-in
εἰς Πεντάπολιν.᾽᾽ καὶ ἐξενέγκας ὁ ναύκληρος πωλῆσαι
at Pentapolis and having-brought-out the ship-master to-sell
ἐκ τοῦ κασσιτέρου — εἶχεν γὰρ ἐκεῖ ἀρχαῖον συναλλάκτην
from the tin he-had for there (an)-old business-partner
δεόμενον ἐξ αὐτοῦ — δίδωσιν αὐτῷ εἰς σακκὶν ὡς
needing of it he-gives him in (a)-sack about
πεντήκοντα λίτρας. ἐκεῖνος οὖν θέλων δοκιμάσαι τὸ εἶδος
fifty pounds he then wishing to-test the quality
εἴ ἐστιν καλὸν, ἔλυσεν αὐτὸ εἰς λαμπρὸν καὶ εὗρεν αὐτὸ
if it-is good melted it in (a)-furnace and found it
ἄργυρον πρωτεῖον. ἐνόμισεν οὖν ὅτι ἐπείρασεν αὐτὸν, καὶ
silver first-rate he-thought then that he-was-testing him and
ἐνέγκας αὐτῷ τὸ σακκὶν λέγει αὐτῷ· “Ὁ θεὸς συγχωρήσῃ
having-brought him the sack he-says to-him — God forgive
σοι. τί γὰρ εὗρές με ποτε ἐπιθέτην πρὸς σὲ, ὅτι ἄργυρον
you what for did-you-find me ever cheat toward you that silver
ἀντὶ κασσιτέρου πειράζων μοι ἔδωκας”; ἐκπλαγεὶς
instead-of tin testing me you-gave having-been-astonished
οὖν ἐπὶ τῷ λόγῳ ὁ ναύκληρος λέγει· “Πίστευσον, ἐγὼ εἰς
then at the word the ship-master says believe I as

κασσίτερον αὐτὸν ἔχω. εἰ δὲ ὁ ποιήσας τὸ ὕδωρ οἶνον,
tin it have if but the(-one) having-made the water wine
αὐτὸς δι᾽ εὐχῶν τοῦ πάπα ἐποίησεν καὶ τὸν κασσίτερον
he through prayers of-the pope made also the tin
ἄργυρον, οὐδὲν ξένον, καὶ ἵνα πληροφορηθῇς, ἐλθὲ εἰς τὸ
silver nothing strange and so-that you-may-be-assured come to the
πλοῖον καὶ βλέπεις τὰ ἕτερα τῶν μαζίων ὧν ἔλαβες.”
ship and see the other of-the ingots which you-received
ἀνελθόντες οὖν εὗρον τὸν κασσίτερον ἄργυρον πρωτεῖον
having-gone-up then they-found the tin silver first-rate
γενόμενον. καὶ οὐ ξένον τὸ θαῦμα, ὦ φιλόχριστοι· ὁ
become and not strange the wonder O Christ-lovers the(-one)
γὰρ τοὺς πέντε ἄρτους πληθύνας καὶ πάλιν τὸ ὕδωρ
for the five loaves having-multiplied and again the water
Αἰγύπτου εἰς αἷμα μεταποιήσας καὶ τὴν ῥάβδον εἰς ὄφιν
of-Egypt into blood having-changed and the rod into (a)-serpent
μετασχηματίσας καὶ τὴν φλόγα εἰς δρόσον μετενέγκας,
having-transformed and the flame into dew having-turned
εὐκόλως καὶ τοῦτο τὸ παράδοξον ἐποίησεν, ἵνα καὶ τὸν
easily also this the marvel made so-that both the
αὐτοῦ θεράποντα πλουτίσῃ καὶ τὸν ναύκληρον ἐλεήσῃ.
his servant he-might-enrich and the ship-master he-might-pity

11 Κατερχομένου ποτὲ τοῦ ἁγιωτάτου τούτου ἐν κυριακῇ ἐν
coming-down once the most-holy this on Lord's-day in
τῇ ἐκκλησίᾳ, προσῆλθεν αὐτῷ ἄνθρωπος ὑπὸ κλεπτῶν
the church approached him (a)-man by thieves
συληθεὶς ὅλον τὸν οἶκον αὐτοῦ ἕως καὶ αὐτοῦ τοῦ
having-been-robbed-of whole the house his up-to even very the
στρώματος αὐτοῦ. ἦν δὲ ἐν εὐπορίᾳ πολλῇ ὁ κλαπείς,
bedding his was and in prosperity much the(-one) robbed
καὶ πολλῆς ζητήσεως γενομένης καὶ μὴ εὑρεθέντων
and much search having-been-made and not having-been-found

τῶν κλεψάντων τὸν οἶκον αὐτοῦ, ἠναγκάσθη ἀπὸ πολλῆς
the(-ones) having-robbed the house his he-was-compelled from much
ἄγαν στενώσεως προσελθεῖν μετὰ μεγάλης διατροπῆς
exceedingly distress to-approach with great shame
τῷ ἐν ἁγίοις εἰπὼν αὐτῷ καὶ τὴν ἑαυτοῦ συμφοράν.
to-the(-one) in saints having-told him also the his-own misfortune
συμπαθήσας οὖν αὐτῷ πολύ — ἦν γὰρ καὶ τῶν
having-had-compassion then on-him much he-was for also of-the
ἐμφανῶν ἐπιξενουμένων — λέγει τῷ πεπιστευμένῳ
prominent(-men) being-strangers he-says to-the(-one) entrusted-with
τὸ χρυσίον εἰς τὸ οὖς αὐτοῦ δοῦναι αὐτῷ χρυσίου δέκα
the gold into the ear his to-give him of-gold ten
πέντε λίτρας. ὡς δὲ ταύτας δοῦναι τούτῳ ἀπήρχετο,
five pounds when and these to-give to-him he-was-going-off
λαμβάνει βουλὴν τοῦ λογοθέτου καὶ τοῦ οἰκονόμου,
he-takes counsel of-the logothete and of-the steward
καὶ ἐκ διαβολικῆς ἐνεργείας φθονήσαντες οὐ δέδωκαν
and from diabolical working having-envied not they-gave
αὐτῷ εἰ μὴ πέντε λίτρας. ὡς οὖν ὑπέστρεφεν ἐκ τῆς
him if not five pounds when then was-returning from the
συνάξεως ὁ αὐτὸς τιμιώτατος ἀρχιεπίσκοπος, ἐπιδίδωσιν
synaxis the same most-honored archbishop hands
αὐτῷ γυνὴ χήρα, ἔχουσα υἱὸν μονογενῆ, γνῶσιν ξενίου
him (a)-woman widow having son only-begotten (a)-note of-(a)-gift
πέντε κεντηναρίων χρυσίου. ὡς δὲ τοῦτο ἐδέξατο καὶ τὸ
of-five centenaria of-gold when and this he-received and the
τίμιον σέκρετον ἀπέλυσεν, μετεκαλέσατο τοὺς διοικητὰς
honored council-chamber he-dismissed he-summoned the administrators
καὶ εἶπεν αὐτοῖς· “Πόσας λίτρας δεδώκατε τῷ
and said to-them how-many pounds have-you-given to-the(-one)
προσελθόντι μοι”; οἱ δὲ εἶπον· “Ὡς ἐκέλευσεν ἡ ἁγία
having-approached me they and said as ordered the holy

σου, δέσποτα, ἱερωσύνη, ιε΄ λίτρας." ὡς δὲ ἐνόησεν
your master priesthood 15 pounds when and he-perceived
αὐτοὺς ἐκ τῆς ἐνοικούσης αὐτῷ χάριτος ὅτι ἐψεύσαντο,
them from the dwelling-in him grace that they-lied
μεταστέλλεται τὸν λαβόντα καὶ ἐρωτᾷ αὐτὸν τὸ τί
he-sends-for the(-one) having-received and asks him the what
ἔλαβεν. τοῦ δὲ εἰπόντος· "Πέντε λίτρας", ἐξενέγκας
he-received he and having-said five pounds having-brought-out
ἐκ τῆς τιμίας αὐτοῦ χειρὸς ὁ ὅσιος τὸ ἐπιδοθὲν αὐτῷ
from the honored his hand the holy(-man) the handed to-him
πιττάκιον, εἶπεν αὐτοῖς· "Ἐξ ὑμῶν ἀπαιτήσει ὁ θεὸς τὰ
note he-said to-them from you will-require — God the
ἄλλα δέκα κεντηνάρια, ὅτι εἰ ἐδώκατε τὰς δεκαπέντε
other ten centenaria because if you-had-given the fifteen
λίτρας, ὡς εἶπεν ἡ ταπείνωσίς μου, ὁ προσενέγκας
pounds as said the lowliness my the(-one) having-offered
τὰ πέντε κεντηνάρια, δεκαπέντε εἶχεν δοῦναι καὶ ἵνα
the five centenaria fifteen would-have to-give and so-that
πείσω ὑμᾶς πέμψας μεταστέλλομαι τὸν τυχόντα."
I-may-persuade you having-sent I-send-for the(-one) concerned
καὶ ἀποστείλας δύο ἄνδρας εὐλαβεῖς, μεταστέλλεται τὴν
and having-dispatched two men devout he-sends-for the
ἐπιδώσασαν αὐτῷ τὸ πιττάκιον εὐλαβεστάτην γυναῖκα
having-handed him the note most-devout woman
ἐν τῷ βαπτιστηρίῳ, δηλώσας αὐτῇ· "Τὴν εὐλογίαν, ἣν
in the baptistery having-told her the blessing which
ἔβαλεν ὁ θεὸς εἰς τὴν καρδίαν σου προσενέγκαι αὐτῷ,
put — God into the heart your to-offer to-him
φέρουσα μεθ' ἑαυτῆς ἐλθὲ πρὸς τὴν ταπείνωσίν μου." ἡ
bringing with yourself come to the lowliness my she
δὲ δρομαίως ἀναστᾶσα καταλαμβάνει τὰ ἴχνη τοῦ ὁσίου
and running having-risen overtakes the footsteps of-the holy(-man)

μετὰ καὶ τοῦ ποσοῦ. ὡς οὖν ἐδέξατο τὴν καρποφορίαν
with also the amount when then received the offering
ὁ πάπας καὶ ἐπηύξατο αὐτῇ καὶ τῷ υἱῷ αὐτῆς ἱκανῶς,
the pope and prayed for-her and for-the son her sufficiently
λέγει πρὸς αὐτὴν· "Τὰς εὐχὰς, ἀμμὰ, ταῦτα μόνον
he-says to her by-the prayers amma these(-things) only
βουλὰς εἶχες δοῦναι τῷ Χριστῷ ἢ καὶ ἄλλο τι;" ὡς δὲ
intentions you-had to-give — to-Christ or also other anything when and
ᾔσθετο τὸν θεοφόρον νοήσαντα ὃ ἐποίησεν, τρόμῳ
she-perceived the God-bearing(-man) having-understood what she-had-done by-trembling
συλληφθεῖσα εἶπεν· "Μὰ τὰς ἁγίας τοῦ κυροῦ εὐχὰς καὶ
seized she-said by the holy of-the lord prayers and
τὸν ἅγιόν μου Μηνᾶν δεκαπέντε κεντηνάρια ἤμην γράψασα
the holy my Menas fifteen centenaria I-was having-written
εἰς τὸ πιττάκιον καὶ πρὸ μιᾶς ὥρας τοῦ δοῦναί με αὐτὸ
in the note and before one hour of-the to-give me it
τῷ κυρῷ, ὡς ἱστάμην εἰς τὴν σύναξιν, ἀναλύσασα αὐτὸ
to-the lord as I-stood in the synaxis having-unfolded it
ἀκαίρως, ἀνέγνωσα αὐτό· ἐγὼ γὰρ ἡ ἀναξία δούλη σου
unseasonably I-read it I for the unworthy handmaid your
καὶ ἔγραψα αὐτὸ ἰδιοχείρως καὶ εὗρον ὅτι τὰ δέκα
also wrote it with-my-own-hand and I-found that the ten
ἐλειάνθησαν ἀφ' ἑαυτῶν. τότε ἐγὼ ἔκθαμβος γενομένη εἰς
were-erased of themselves then I astounded having-become to
ἑαυτὴν εἶπον· 'Πάντως οὐκ ἔστιν θέλημα θεοῦ ἵνα δώσω
myself I-said surely not it-is (the)-will of-God that I-should-give
εἰ μὴ πέντε.'" ἀπολύσαντος δὲ τοῦ πατριάρχου τὴν εὐλαβῆ
if not five having-dismissed and the patriarch the devout
γυναῖκα, ἔπεσαν εἰς τοὺς πόδας αὐτοῦ οἱ τὴν παρακοὴν
woman fell at the feet his the the disobedience

αὐτοῦ ποιήσαντες διοικηταὶ, αἰτοῦντες συγχώρησιν καὶ
to-him having-done administrators asking pardon and
διαβεβαιούμενοι μηκέτι τι τοιοῦτον διαπράξασθαι.
affirming no-longer anything such to-do

XII–XIII · NICETAS AND THE DEACON'S OFFER

The patrician Nicetas, urged by slanderers, carries off the church's money for the empire, leaving one centenarium. As he goes down, jars labeled honey arrive for John full of gold, and John sends one to Nicetas with a note that mortal man cannot straiten God. Nicetas returns everything, adds three centenaria of his own, and begs pardon; the two become so close that John is bound to him as co-godparent. During a famine a twice-married landowner offers two hundred thousand measures of grain and a hundred and eighty pounds of gold to be made deacon; John refuses the blemished offering, and at once two of the church's ships return from Sicily with grain.

12 Θεωρήσας τὴν τούτου τοῦ παναρέτου μεγαλοψυχίαν καὶ
having-seen the of-this the all-virtuous(-man) magnanimity and
ἀφειδῶς ἡπλωμένην χεῖρα καὶ ὥσπερ ἐκ πηγῆς ἀεννάως
unsparingly stretched-out hand and as from (a)-spring unceasingly
πᾶσιν παρέχουσαν, Νικήτας ὁ πατρίκιος ἐξ ὑποβολῆς
to-all supplying Nicetas the patrician from suggestion
τινων διαβόλων, ἀνέρχεται πρὸς τὸν ὅσιον καὶ λέγει
of-some slanderers goes-up to the holy(-man) and says
αὐτῷ· "Ἡ βασιλεία στενοῦται καὶ χρήματος ἐπιδέεται.
to-him the empire is-straitened and of-money is-in-need
ἀνθ' ὧν οὖν οὕτως ἀφειδῶς δαπανῶνται τὰ εἰσοδιαζόμενά
instead-of what then thus unsparingly are-spent the coming-in
σοι χρήματα, δὸς αὐτὰ τῇ βασιλείᾳ εἰς τὴν δημοσίαν
to-you moneys give them to-the empire into the public
σακέλλαν." ὁ δὲ ἐπὶ τῷ λεχθέντι ἀτάραχος διαμείνας,
treasury he but at the(-thing) said unperturbed having-remained

λέγει πρὸς αὐτόν· "Οὐ δίκαιόν ἐστι, ὡς οἶμαι, κῦρι ὁ
says to him not right it-is as I-think lord the
πατρίκιος, τὰ τῷ ἐπουρανίῳ βασιλεῖ προσαχθέντα τῷ
patrician the(-things) to-the heavenly king brought to-the
ἐπιγείῳ δοῦναι. εἰ δὲ καὶ ὅλως τίποτε τοιοῦτον ἔκρινας,
earthly to-give if but even at-all anything such you-have-decided
πίστευσον, ὁ ταπεινὸς Ἰωάννης ἐξ αὐτῶν νουμὶν οὐ δίδει
believe the lowly John of them (a)-penny not gives
σοι· ἀλλ' ἰδοὺ ὑποκάτω τοῦ ταπεινοῦ χαλαδρίου μού ἐστιν
you but behold beneath the lowly bed my is
ἡ ἀποθήκη τοῦ Χριστοῦ. ὡς βούλει, ποίησον." ἀναστὰς
the storehouse — of-Christ as you-wish do having-risen
οὖν εὐθέως ὁ πατρίκιος κράζει τοὺς βαστάσαι ὀφείλοντας
then at-once the patrician calls those to-carry obliged
ἐκ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων καὶ φορτώνει αὐτοὺς ὅλα
of the own his men and loads them all
τὰ χρήματα, μὴ καταλείψας αὐτῷ εἰ μὴ ἓν κεντηνάριον.
the moneys not having-left him if not one centenarium
καὶ ὡς κατήρχοντο οἱ βαστάζοντες τὸ τοιοῦτον χρῆμα,
and as were-going-down the(-ones) carrying the such money
ἀνήρχοντό τινες ἕτεροι βαστάζοντες κεράμια μικρὰ ἔχοντα
were-coming-up some others carrying jars small having
χρήματα, πεμφθέντα ἀπὸ Ἀφρικῆς τῷ πάπᾳ, ἐπιγράφοντα
moneys sent from Africa to-the pope labeled
τὰ μὲν "μέλι πρωτεῖον" τὰ δὲ "μέλι ἀκάπνιστον". ὡς
the indeed honey first-rate the and honey unsmoked when
οὖν κατερχόμενος ὁ πατρίκιος ἀνέγνω τὰς ἐπιγραφὰς
then going-down the patrician read the labels
τῶν κεραμίων, δηλοῖ τῷ πάπᾳ πεμφθῆναι αὐτῷ ἐκ τοῦ
of-the jars he-bids the pope to-be-sent to-him of the
τοιούτου μέλιτος λόγῳ τοῦ κελλαρίου αὐτοῦ· ἐγίνωσκεν
such honey for-the-use of-the storeroom his he-knew

γὰρ τοῦ ὁσίου τὸ ἀμνησίκακον. ἀνελθόντος οὖν τοῦ τὰ
for of-the holy(-man) the freedom-from-grudges having-gone-up then the(-one) the
κεράμια πεπιστευμένου καὶ ἐπιδώσαντος τὰς ἀποκρίσεις
jars having-been-entrusted-with and having-handed-over the letters
καὶ μηνύσαντος χρήματα εἶναι ἀντὶ μέλιτος ἐν τοῖς
and having-disclosed moneys to-be instead-of honey in the
ἀγγείοις, εὐθέως ὁ ὄντως πρᾷος ποιμὴν ἀπέστειλεν αὐτῷ
vessels at-once the truly gentle shepherd sent him
ἓν κεράμιον ἐπιγεγραμμένον "μέλι πρωτεῖον", ποιήσας
one jar labeled honey first-rate having-made
αὐτῷ καὶ πιττάκιον περιέχοντα οὕτως· "Ὁ εἰπὼν
for-him also (a)-note containing thus the having-said
δεσπότης· 'οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω',
master not — you I-will-leave nor not — you I-will-forsake
ἀψευδὴς ὑπάρχει καὶ θεὸς ἀληθινός. διὸ τὸν θεὸν τὸν
unlying is and God true therefore — God the(-one)
πᾶσιν τὴν τροφὴν καὶ τὴν ζωὴν παρέχοντα ἄνθρωπος
to-all the food and the life supplying man
φθαρτὸς στενῶσαι οὐ δύναται. ἔρρωσο." παρήγγειλε
mortal to-straiten not is-able farewell he-ordered
δὲ τοῖς ἀπερχομένοις καὶ βαστάζουσι τὸ κεράμιον
and to-the(-ones) going-off and carrying the jar
ἐπὶ αὐτοῦ ἀνοιχθῆναι καὶ εἰπεῖν αὐτῷ, ὡς ὅλα τὰ
before him to-be-opened and to-say to-him that all which
ἐθεάσω τὰ κεράμια ἀνερχόμενα, χρήματα ἀντὶ μέλιτος
you-saw the jars coming-up moneys instead-of honey
γέμουσιν. ἐπὶ τραπέζης οὖν αὐτοῦ καθεζομένου κατὰ
are-full at table then he sitting by
συγκυρίαν ἐμήνυσαν οἱ τὸ κεράμιον βαστάζοντες καὶ
chance reported the(-ones) the jar carrying and
τὸ παραναγνωστικὸν τοῦ πάπα. ἀνελθόντων οὖν αὐτῶν
the letter of-the pope having-come-up then they

ὡς εἶδεν ἓν μόνον κεράμιον, ἔφη ὁ πατρίκιος· "Πίστευσον,
when he-saw one only jar said the patrician believe
κῦρι ὁ μέγας, εἰπὲ αὐτῷ, χολᾷς μοι, ἐπεὶ ἓν μόνον
lord the great tell him you-are-angry with-me since one only
οὐκ ἔπεμπές μοι." ἐπιδοθέντος δὲ αὐτῷ τοῦ πιττακίου
not you-were-sending me having-been-handed and to-him the note
καὶ ἀποβουλλωσάντων ἐκείνων εὐθέως καὶ κενωσάντων ἐπὶ
and having-unsealed they at-once and having-emptied before
ὅλων τὸ χρῆμα, ἐγνώρισαν αὐτῷ καὶ τὰ λοιπὰ κεράμια
all the money they-made-known to-him also the other jars
ἃ εἶδεν ὁμοίως γέμειν. ὡς οὖν ἀνέγνω, ὅτι ἄνθρωπος
which he-saw likewise to-be-full when then he-read that man
φθαρτὸς τὸν θεὸν στενῶσαι οὐ δύναται, κατανυγεὶς ἐπὶ
mortal — God to-straiten not is-able pricked-to-the-heart at
τῷ λόγῳ εἶπεν· "Καὶ ζῇ κύριος οὔτε Νικήτας στενώσει
the word he-said and lives (the)-Lord neither Nicetas will-straiten
αὐτόν· ἄνθρωπος γὰρ καὶ αὐτὸς ἁμαρτωλὸς καὶ φθαρτός
him (a)-man for also he sinful and mortal
ἐστιν." καὶ καταλιπὼν εὐθέως τὸ ἄριστον καὶ λαβὼν
is and having-left at-once the meal and having-taken
μεθ' ἑαυτοῦ ὅσα ἦν ἐπάρας χρήματα παρὰ τοῦ
with himself as-much-as was having-taken-away moneys from the
τιμίου πατρὸς καὶ τὸ πεμφθὲν παρ' αὐτοῦ κεράμιον καὶ
honored father and the sent from him jar and
ἐξ ἑαυτοῦ τρία κεντηνάρια, καταλαμβάνει τὰ τίμια αὐτοῦ
from himself three centenaria he-reaches the honored his
ἴχνη, μηδένα εἰς ἴδιον ὀψίκιον συμπαραλαβών, ἀλλ' ἐν
footsteps no-one into own retinue having-taken-along but in
ταπεινοφροσύνῃ πολλῇ ἀνελθὼν παρεκάλει αὐτὸν ὡς ἐξ
humility much having-gone-up he-besought him as by
ἑτέρων διαβλητόρων κινηθέντα, συγχώρησιν αὐτῷ παρὰ
other slanderers moved pardon for-him from

θεοῦ αἰτήσασθαι, πληροφορῶν αὐτὸν, ὡς καὶ ἐπιτίμιον,
God to-ask assuring him that also (a)-penance
ἐὰν δώσῃ αὐτῷ, προθύμως τοῦτο δέξηται καὶ φυλάξῃ.
if he-give him eagerly this he-would-accept and keep
θαυμάσαντος δὲ τοῦ πάπα τὴν ὀξεῖαν τοῦ ἀνδρὸς
having-marveled and the pope at-the swift of-the man
μεταβολὴν, οὐδὲν περὶ τῆς ἐγχειρήσεως ἐνεκάλεσεν, ἀλλὰ
change nothing about the attempt he-reproached but
καὶ μᾶλλον παρεμυθήσατο αὐτὸν λόγοις παρακλητικοῖς.
even rather comforted him with-words consoling
τοιαύτη δὲ ἀμφοτέροις συνεδέθη ἔκτοτε ἀγάπη, ὡς
such and between-both was-bound from-then love as
καὶ σύντεκνον γενέσθαι αὐτὸν τοῦ πολλάκις εἰρημένου
even co-godparent to-become he of-the often mentioned
πατρικίου.
patrician

13 Ὁ τὸν Ἀβραὰμ εἰς τὸ συμφέρον πειράσας, ἵνα τὴν
the(-one) — Abraham for the advantage having-tested so-that the
αὐτοῦ πίστιν ἅπας ὁ κόσμος μαθὼν μιμήσηται, θεῷ
his faith all the world having-learned might-imitate to-God
μόνῳ ἐγνωσμένην, ἐπείρασεν καὶ τὸν ἀοίδιμον τοῦτον
alone known tested also the celebrated this
Ἰωάννην. ὁ δὲ τρόπος τῆς αὐτοῦ πείρας τύπος ὠφελείας
John the and manner of-the his testing (a)-pattern of-benefit
ταῖς ἁγίαις τοῦ θεοῦ ἐκκλησίαις καθέστηκεν. ἔστιν δὲ
to-the holy — of-God churches has-become is and
αὕτη. τοῦ ἀμυθήτου πλήθους τῶν φευγόντων ἐκ τῶν
this the countless multitude of-the fleeing from the
Περσῶν, ὡς ἤδη προλέλεκται, καταλαμβάνοντος τὴν
Persians as already has-been-said occupying —
Ἀλεξάνδρειαν καὶ στενώσεως πολλῆς ἐκ τοῦ μὴ ἀνελθεῖν
Alexandria and distress much from the not to-rise

τὸν ποταμὸν κατὰ συνήθειαν γενομένης τροφῶν καὶ
the river by custom having-come-about of-foods and
παντὸς τοῦ χρυσίου ἐκδαπανηθέντος, οὗ ἦν κεκτημένος,
all the gold having-been-spent which had acquired
ὁ ἐν ἁγίοις πατριάρχης ἔπεμψεν καὶ ἐδανείσατο ἀπὸ
the in saints patriarch he-sent and borrowed from
πολλῶν φιλοχρίστων περὶ τὰ δέκα κεντηνάρια. καὶ τούτων
many Christ-lovers about the ten centenaria and these
πάλιν ἀναλωθέντων καὶ ἔτι τοῦ λιμοῦ κρατοῦντος καὶ
again having-been-spent and still the famine prevailing and
τοῦ λοιποῦ δανεῖσαι αὐτῷ τινος μὴ προαιρουμένου,
the rest(-of-time) to-lend to-him anyone not choosing
ἀλλὰ πάντων τὴν ἐπικράτειαν τοῦ λιμοῦ φοβουμένων,
but all the dominance of-the famine fearing
καὶ τῆς χρείας τῶν εἰωθότων ἀποτρέφεσθαι ἐξ αὐτοῦ
and the need of-the(-ones) accustomed to-be-fed by him
κατεπειγούσης, καὶ ἐν πολλῇ φροντίδι καὶ προσευχῇ τοῦ
pressing and in much anxiety and prayer the
μακαρίου προσκαρτεροῦντος, αἰσθόμενός τις τῶν τὴν πόλιν
blessed(-man) persevering having-perceived one of-the the city
οἰκούντων κτητόρων τὴν περιέχουσαν τὸν ἁγιώτατον
inhabiting landowners the besetting the most-holy(-man)
στένωσιν καὶ παντελῆ ἀπορίαν, δίγαμος ὢν, ἐπεθύμει
distress and utter want twice-married being desired
διάκονος γενέσθαι τῆς ἁγίας ἐκκλησίας. καὶ ὥσπερ ἐκ τῆς
deacon to-become of-the holy church and as from the
ἀνάγκης τῆς περιεχούσης πάντοθεν τὸν ὅσιον βουλόμενος
necessity the besetting on-all-sides the holy(-man) wishing
πεῖσαι αὐτὸν, ἵνα χειροτονήσῃ αὐτὸν, ποιεῖ αὐτῷ δέησιν
to-persuade him that he-ordain him makes to-him (a)-petition
περιέχουσαν οὕτως — κατὰ πρόσωπον γὰρ οὐκ ἐτόλμα
containing thus to face for not he-dared

τι τοιοῦτον πρὸς αὐτὸν φθέγξασθαι. "Τῷ ἁγιωτάτῳ καὶ
anything such to him to-utter to-the most-holy and
τρισμακαρίῳ πατρὶ πατέρων Ἰωάννῃ τοποτηρητῇ Χριστοῦ
thrice-blessed father of-fathers John vicar of-Christ
δέησις καὶ ἱκεσία παρὰ Κοσμᾶ ἀναξίου δούλου τῶν
petition and supplication from Cosmas unworthy servant of-the
δούλων τῆς σῆς ἁγιωσύνης. μεμαθηκὼς, ἁγιώτατε κῦρι, τὴν
servants of-the your holiness having-learned most-holy lord the
περιέχουσαν τὴν τιμίαν σου κεφαλὴν κατὰ συγχώρησιν θεοῦ,
besetting the honored your head by permission of-God
μᾶλλον δὲ ἐξ ἡμετέρων ἁμαρτιῶν τροφῶν στενοχωρίαν,
rather but from our sins of-foods straitness
οὐχ ὅσιον ἡγησάμην ὁ δοῦλός σου ἐν ἀνέσει διάγειν, τοῦ
not holy I-thought the servant your in ease to-live the
δεσπότου μου ἐν στενώσει ἀεὶ ὑπάρχοντος. ἔστιν οὖν τῷ
master my in distress always being there-is then to-the
ἀναξίῳ δούλῳ σου σίτου χιλιάδες διακόσιαι καὶ χρυσίου
unworthy servant your of-grain thousands two-hundred and of-gold
λίτραι ρπ΄, ἅστινας δοῦναι παρακαλῶ τῷ Χριστῷ διὰ
pounds 180 which to-give I-beg — to-Christ through
τοῦ κυροῦ. μόνον ὁ ἀνάξιος τῆς αὐτοῦ διακονίας ἐν
the lord only the unworthy(-one) of-the his ministry in
ἀπολαύσει γένωμαι, ἵνα διὰ τῆς τοιαύτης σὺν τῷ κυρῷ
enjoyment may-I-be so-that through the such with the lord
τοῦ ἁγίου θυσιαστηρίου παραστάσεως καθαρισθῶ τῆς
of-the holy altar standing I-may-be-cleansed of-the
τῶν ἁμαρτημάτων μου ἀσωτίας. εἴρηται γὰρ, θεοκῆρυξ
of-the sins my prodigality it-has-been-said for herald-of-God
ἀληθινὲ, διὰ τοῦ ἁγίου ἀποστόλου Παύλου, ὅτι ἐξ
true through the holy apostle Paul that of
ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται." Ταῦτα δεξάμενος
necessity also of-law change comes-about these(-things) having-received

ὁ θεόσοφος καὶ τὸν ἄνδρα μεταστειλάμενος ἔφη πρὸς
the God-wise(-man) and the man having-sent-for said to
αὐτόν· "Σὺ εἶ ὁ τὴν δέησιν ἡμῖν διὰ τοῦ σοῦ
him you are the(-one) the petition to-us through the your
νοταρίου καὶ υἱοῦ ἀποστείλας"; τοῦ δὲ φήσαντος· "Ναὶ
notary and son having-sent he and having-said yes
δέσποτα", ἐξήνεγκεν πάντας ἔξω ὁ μακάριος, μὴ θελήσας
master he-sent-out all outside the blessed(-man) not having-wished
ὁ συμπαθέστατος ἐπὶ πάντων τοῦτον αἰσχῦναι, καὶ ἤρξατο
the most-compassionate before all this(-man) to-shame and began
λέγειν πρὸς αὐτόν· "Ἡ μὲν προσφορά σου πολλὴ καὶ τῷ
to-say to him the indeed offering your (is)-great and for-the
καιρῷ ἀναγκαία, ἀλλ' ἐπίμωμός ἐστιν, καὶ γινώσκεις ὅτι ἐν
time necessary but blemished it-is and you-know that in
τῷ νόμῳ πρόβατον εἴτε μικρὸν εἴτε μέγα, εἰ μὴ ἄμωμον
the law (a)-sheep whether small or great if not unblemished
ἦν, εἰς θυσίαν οὐκ ἀνεφέρετο, καὶ διὰ τοῦτο οὐδὲ τῇ
it-was for sacrifice not was-offered and because-of this not-even to-the
θυσίᾳ τοῦ Καΐν προσέσχεν ὁ θεός. ὅτι δὲ εἶπας, ἄδελφε,
sacrifice — of-Cain paid-heed — God that and you-said brother
ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται, περὶ τοῦ νόμου
of necessity also of-law change comes-about about the law
τῆς παλαιᾶς τοῦτο εἶπεν ὁ ἀπόστολος· ἐπεὶ πῶς φησιν ὁ
the old this said the apostle since how says the
ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος ὅτι 'ὅστις τελέσει πάντα τὸν
brother of-the Lord James that whoever shall-keep all the
νόμον, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος;' περὶ
law shall-stumble but in one has-become of-all guilty about
δὲ τῶν ἀδελφῶν μου τῶν πτωχῶν καὶ περὶ τῆς ἁγίας
and the brothers my the poor and about the holy
ἐκκλησίας ὁ θρέψας αὐτοὺς θεὸς πρὶν γεννηθῶμεν ἐγώ
church the having-fed them God before we-were-born I

τε καὶ σὺ, αὐτὸς καὶ νῦν τρέφει αὐτοὺς, μόνον ἐὰν τοὺς
both and you he also now feeds them only if the
λόγους αὐτοῦ ἀτρώτους φυλάξωμεν. ὁ γὰρ τότε τοὺς
words his unwounded we-keep the(-one) for then the
πέντε ἄρτους πληθύνας δύναται καὶ τὰ δέκα μόδια τοῦ
five loaves having-multiplied is-able also the ten modii of-the
ὡρείου μου εὐλογῆσαι. διὸ ἐκεῖνο λέγω πρὸς σὲ, τέκνον,
granary my to-bless therefore that I-say to you child
τὸ ἐν ταῖς πράξεσιν εἰρημένον· Οὐκ ἔστιν σοι μερὶς
the(-word) in the Acts said not there-is to-you part
οὐδὲ κλῆρος ἐν τῷ μέρει τούτῳ'". Ὡς δὲ τοῦτον στυγνὸν
nor lot in the matter this when and this(-man) gloomy
καὶ ἄπρακτον ἀπέλυσεν, μηνύεται αὐτῷ δύο δόρκωνας
and unsuccessful he-dismissed it-is-reported to-him two fast-ships
τῶν τῆς ἐκκλησίας χαλάσαι, ἐξ ὧν ἦν πέμψας
of-the(-ones) of-the church to-have-put-in of which he-had sent
ἐν Σικελίᾳ διὰ σῖτον. τοῦτο δὲ μαθὼν ὁ μακάριος,
to Sicily for grain this and having-learned the blessed(-man)
πεσὼν ἐπὶ τὴν γῆν, ηὐχαρίστησεν τῷ παντοδυνάμῳ θεῷ
having-fallen on the ground gave-thanks to-the almighty God
λέγων· "Εὐχαριστῶ σοι, δέσποτα, ὅτι οὐ συνεχώρησας τῷ
saying I-thank you master that not you-permitted the
δούλῳ σου εἰς χρήματα πωλῆσαι τὴν χάριν σου· ὄντως
servant your for money to-sell the grace your truly
οἱ ζητοῦντες σὲ, κύριε, καὶ τοὺς τῆς ἁγίας σου ἐκκλησίας
those seeking you Lord and the of-the holy your church
κανόνας φυλάττοντες οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.
canons keeping not will-lack every good

John suspends two quarreling clerics, and one bears a grudge. At the liturgy John remembers the command to leave his gift at the altar and be reconciled, has the prayers repeated while the cleric is fetched, and bows to him first asking forgiveness, and the man later becomes a presbyter. John and Nicetas part angry over a market regulation that would harm the poor. At the eleventh hour John sends him word that the sun is setting, and Nicetas comes in tears. John tells him he never decides a case on one party's report, and punishes a false informer with the penalty due the accused.

Τινῶν δύο κληρικῶν πταισάντων, τουτέστιν ἐπιχειρησάντων 14
some two clergy having-stumbled that-is having-attacked
ἀλλήλοις, τούτους ἠφόρισεν κανονικῶς πρὸς ἡμέρας.
one-another these he-excommunicated canonically for days
τούτων ὁ μὲν εἷς ἄσμενος κατεδέξατο τὸ ἐπιτίμιον καὶ
of-these the indeed one gladly accepted the penance and
συνέγνω τὸ ἑαυτοῦ πταῖσμα, ὁ δὲ ἄλλος, κακότροπος
acknowledged the his-own fault the but other ill-mannered
ὑπάρχων, χαίρων ἐδέξατο τὸ ἐπιτίμιον· ἀφορμὴν γὰρ
being rejoicing received the penance (a)-pretext for
ἐζήτει ὁ δείλαιος τοῦ μὴ εἰσέρχεσθαι εἰς τὴν ἐκκλησίαν,
sought the wretch of-the not to-enter into the church
ἀλλ' ἄδειαν ἔχειν διηνεκῆ ἐν ταῖς ἀθέσμοις αὐτοῦ πράξεσιν·
but license to-have continual in the lawless his doings
ὠργίζετο δὲ κατὰ τοῦ πάπα καὶ ὅσον τὸ ἐπὶ τῇ οἰκείᾳ
he-was-angry and against the pope and as-much-as the on the own
προθέσει ἠπείλει βλάπτειν αὐτόν. τινὲς δέ φασιν καὶ
purpose he-threatened to-harm him some and say also
αὐτὸν εἶναι τὸν διαβαλόντα τὰ χρήματα τῆς ἐκκλησίας
he to-be the(-one) having-denounced the moneys of-the church
πρὸς τὸν πατρίκιον Νικήταν, ἅπερ καὶ ἥρπασεν χειρὶ ὡς
to the patrician Nicetas which also he-seized by-hand as

προγέγραπται. προσανηνέχθη οὖν τῷ μακαρίῳ ἡ τοῦ
has-been-written-above was-reported then to-the blessed(-man) the of-the(-one)
μνησικακοῦντος αὐτῷ ἀδιόρθωτος πρόθεσις. ὁ δὲ ὄντως
bearing-a-grudge him incorrigible purpose the and truly
ποιμὴν μνημονεύων τοῦ εἰρηκότος· "τίς ἀσθενεῖ καὶ οὐκ
shepherd remembering the(-one) having-said who is-weak and not
ἀσθενῶ;" καὶ πάλιν· "ὑμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν
I-am-weak and again you the strong the weaknesses of-the
ἀδυνάτων βαστάζετε", ἠβουλήθη τοῦτον μεταστείλασθαι καὶ
weak bear wished this(-man) to-send-for and
πρεπόντως νουθετῆσαι αὐτὸν καὶ λῦσαι τοῦ ἀφορισμοῦ·
fittingly to-admonish him and to-release from-the excommunication
ἐθεώρει γὰρ τὸν λύκον ἁρπάσαι τὸ πρόβατον ἐπιχειροῦντα.
he-saw for the wolf to-seize the sheep attempting
κατ' οἰκονομίαν δὲ θεοῦ ἵνα γνωσθῇ πᾶσιν ἡ τοῦ
by dispensation and of-God so-that might-be-known to-all the of-the
πατριάρχου ἀμνησίκακος ψυχή, ἐπελανθάνετο τοῦτον
patriarch grudge-free soul he-forgot this(-man)
μεταστείλασθαι καὶ λῦσαι τοῦ ἐπιτιμίου. Ὡς οὖν ἡ ἁγία
to-send-for and to-release from-the penance when then the holy
κυριακὴ κατέλαβεν καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ παρέστη τὴν
Lord's-day came and at-the holy altar he-stood the
ἀναίμακτον θυσίαν προσενέγκαι, ἤδη λοιπὸν τοῦ διακόνου
bloodless sacrifice to-offer already now the deacon
τὴν καθολικὴν ὑπάγοντος πληρῶσαι εὐχὴν καὶ τοῦ ἁγίου
the universal going to-fulfill prayer and the holy
καταπετάσματος ὑψοῦσθαι μέλλοντος, εἰς ἔννοιαν τοῦ
veil to-be-raised about into mind of-the(-one)
μνησικακοῦντος αὐτῷ ἦλθεν, καὶ εὐθέως ἐκείνου τοῦ
bearing-a-grudge him came(-he) and at-once that the
θείου προστάγματος μνημονεύσας τοῦ φάσκοντος· " Ἐὰν
divine command having-remembered the saying if

προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ
you-offer the gift your at the altar and-there
μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες
you-remember that the brother your has something against you leave
τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον ἔμπροσθεν καὶ ὕπαγε
the gift your at the altar before(-it) and go
πρότερον, διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν
first be-reconciled to-the brother your and then having-come
πρόσφερε τὸ δῶρόν σου", δηλοῖ τῷ τὴν διακονικὴν
offer the gift your he-bids the the deacon's
εὐχὴν ποιοῦντι διακόνῳ ἀναλαβέσθαι ἐξ ἀρχῆς καὶ
prayer making deacon to-take-up(-again) from (the)-beginning and
ἐὰν τελειώσῃ πάλιν ἀναλαβέσθαι, ἕως οὗ φθάσῃ ἡ
if he-finish again to-take-up until — should-arrive the
αὐτοῦ ἁγιωσύνη. προσεποιήσατο γὰρ τὴν γαστέραν αὐτοῦ
his holiness he-pretended for the stomach his
νύξασαν αὐτόν. καὶ ἐλθὼν ἐν τῷ τιμίῳ κειμηλιαρχείῳ
having-pricked him and having-come in the honored treasury
ἀπέστειλεν εὐθέως κἂν εἴκοσι ἑβδομαρίους, ἐπιζητοῦντας
he-sent at-once at-least twenty hebdomadarii seeking
τὸν εἰρημένον κακότροπον κληρικόν· ὁ γὰρ σκοπὸς τοῦ
the said ill-mannered cleric the for aim of-the
ποιμένος οὗτος ἦν τοῦ ἁρπάσαι ἐκ τοῦ στόματος τοῦ
shepherd this was — to-snatch from the mouth of-the
λέοντος τὸ πρόβατον. ὁ δὲ τὸ θέλημα τῶν φοβουμένων
lion the sheep — and the will of-those fearing
αὐτὸν ποιῶν θεὸς ἐποίησεν κατὰ χεῖρας εὑρεθῆναι εὐθέως
him doing God made at hand to-be-found at-once
τὸν κληρικὸν, καὶ ἐλθόντος αὐτοῦ ὡς τῆς ἀληθείας
the cleric and having-come he as the truth
μαρτυρούσης πρῶτος ὁ πατριάρχης ἔβαλεν μετάνοιαν
bearing-witness first the patriarch threw penitence

εἰπών· "Συγχώρησόν μοι, ἄδελφε." αἰδεσθεὶς οὖν τὴν τοῦ
having-said forgive me brother having-reverenced then the of-the
τιμίου ἀρχιερωσύνην καὶ τὴν τῶν συνόντων παρουσίαν,
honored(-man) high-priesthood and the of-those being-with(-him) presence
μᾶλλον δὲ φοβηθεὶς τὸ κρῖμα καὶ φρίξας μή πως
rather but having-feared the judgment and having-shuddered lest somehow
κατέλθῃ πῦρ ἐξ οὐρανοῦ αὐτῇ τῇ ὥρᾳ καὶ ἀναλώσῃ
should-come-down fire from heaven in-that-very the hour and consume
αὐτὸν, θεωροῦντα τὴν τιμίαν ἐκείνην πολιὰν χαμαὶ
him seeing the honored that gray-head on-the-ground
κειμένην, ἔβαλεν καὶ αὐτὸς μετάνοιαν, αἰτῶν συγγνώμης
lying threw also he penitence asking of-pardon
καὶ φιλανθρωπίας τυχεῖν. καὶ εἰπόντος τοῦ πάπα· "Ὁ
and of-kindness to-obtain and having-said the pope —
θεὸς πᾶσιν ἡμῖν συγχωρήσῃ", ἀνέστησαν ἀμφότεροι καὶ
God all us may-forgive rose both and
εἰσῆλθον εἰς τὴν ἐκκλησίαν. καὶ τότε μετὰ πολλῆς χαρᾶς
went-in into the church and then with much joy
καὶ εὐφροσύνης παρέστη τῷ ἁγίῳ θυσιαστηρίῳ μετὰ
and gladness he-stood at-the holy altar with
καθαροῦ συνειδότος δυνάμενος εἰπεῖν τῷ θεῷ· "Ἄφες
clean conscience being-able to-say — to-God forgive
ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς
us the debts our as also we forgive the
ὀφειλέταις ἡμῶν." οὕτως δὲ ἐσωφρονίσθη ἔκτοτε καὶ
debtors our thus and was-chastened from-then and
κατηνύγη ὁ ἀναγνώστης, ὡς ἀξιωθῆναι αὐτὸν
was-pricked-to-the-heart the reader so-that to-be-deemed-worthy he
καὶ τῆς τοῦ πρεσβυτέρου χειροτονίας.
even of-the of-the presbyter ordination

Θεοφόροι τινὲς τῶν ἁγίων πατέρων φασίν· "Ἀγγέλων μέν 15
God-bearing some of-the holy fathers say of-angels indeed
ἐστι τὸ μηδὲ ὅλως μάχεσθαι, ἀλλ' ἐν παντελεῖ καὶ διηνεκεῖ
it-is the not-even at-all to-fight but in complete and continual
εἰρήνῃ ὑπάρχειν, ἀνθρώπων δὲ τὸ ἀμφιβάλλειν μὲν, εὐθέως
peace to-be of-men and the to-quarrel indeed at-once
δὲ καὶ παρ' αὐτὰ διαλλάττεσθαι, δαιμόνων δὲ τὸ μάχεσθαι
but and on the-spot to-be-reconciled of-demons and the to-fight
μὲν, ἀδιαλλάκτους δὲ τὴν ἡμέραν πᾶσαν παρέρχεσθαι."
indeed unreconciled and the day whole to-pass
τοῦτο δὲ προοιμιασάμεθα, φιλόχριστοι, τοῦ παρόντος ἡμῖν
this and we-have-said-in-preface Christ-lovers of-the present to-us
διηγήματος ἕνεκεν. Ἔδοξέν ποτε τοῦτον τὸν ἀοίδιμον
story for-the-sake-of it-happened once this the celebrated(-man)
μετὰ τοῦ προμνημονευθέντος Νικήτα τοῦ πατρικίου περί
with the before-mentioned Nicetas the patrician about
τινος δημοσίου πράγματος ἀμφιβάλαι. ὁ δὲ τρόπος τῆς
some public matter to-quarrel the and manner of-the
μάχης ἦν τοιοῦτος. ἀναγκαῖον γὰρ καὶ αὐτὸν εἰπεῖν,
fight was such necessary for also it to-tell
ψυχωφελῆ τυγχάνοντα. ὁ μὲν πατρίκιος ἤθελεν διοικῆσαι
soul-profiting being the indeed patrician wished to-regulate
τὴν ἀγορὰν δημοσίου κέρδους ἕνεκεν. ὁ δὲ πατριάρχης
the market of-public profit for-the-sake-of the but patriarch
τοῦτο οὐκ ἠνείχετο τῆς τῶν πενήτων προνοούμενος
this not endured of-the of-the poor taking-thought-for
σωτηρίας, καὶ ἐν τούτῳ πολλὰ οὖν αὐτῶν ἐπὶ σεκρέτου
salvation and in this much then they in council
φιλονεικησάντων καὶ ἀσυμβιβάστων μενόντων, ἀνεχώρησαν
having-contended and irreconcilable remaining withdrew
ἀμφότεροι πρὸς ἀλλήλους ὀργισθέντες ἀδιάλλακτοι. ἦν
both toward one-another having-been-angered unreconciled it-was

δὲ ὥρα πέμπτη, καὶ ἡ μὲν τοῦ πατριάρχου ἀντίστασις
and hour fifth and the indeed of-the patriarch resistance
καὶ πικρία ὑπὲρ τῆς ἐντολῆς τοῦ θεοῦ ὑπῆρχεν, ἡ δὲ τοῦ
and bitterness for the commandment — of-God was the but of-the
πατρικίου κέρδους χρηματιστικοῦ ἕνεκεν. ὅμως φησὶν ὁ
patrician profit monetary for-the-sake-of nevertheless says the
δίκαιος· "Οὔτε ὑπὲρ εὐλόγου οὔτε ὑπὲρ ἀλόγου προφάσεως
just(-man) neither for reasonable nor for unreasonable pretext
ὀργίζεσθαι ὀφείλει ὁ ἄνθρωπος". ὥρας οὖν ἑνδεκάτης
to-be-angry ought the man hour then eleventh
καταλαβούσης, δηλοῖ διὰ τοῦ πρωτοπρεσβυτέρου σὺν τῷ
having-come sends-word through the archpresbyter with the
κλήρῳ ὁ πάπας τῷ πατρικίῳ τοῦτο τὸ ἀξιομνημόνευτον
clergy the pope to-the patrician this the memorable
ῥῆμα· "Δέσποτα, ὁ ἥλιος πρὸς δυσμάς ἐστιν". ὡς δὲ
saying master the sun toward setting is when and
τούτου τοῦ ῥήματος ἐκεῖνος ἤκουσεν, μὴ ἐνέγκας τὴν
this the saying he heard not having-borne the
τῆς καρδίας αὐτοῦ πύρωσιν, ἀλλ' ὥσπερ ὑπὸ θείου πυρὸς
of-the heart his burning but as by divine fire
τοῦ λόγου κατανυγεὶς τοῦ ὁσίου, σύνδακρυς εὐθέως ὅλος
of-the word pricked of-the holy(-man) in-tears at-once whole
ἐγένετο, καὶ ἀναστὰς καταλαμβάνει τὸν μακάριον. ὡς οὖν
he-became and having-risen he-reaches the blessed(-man) when then
τοῦτον εἶδεν ὁ δίκαιος, φησί· "Καλῶς ἦλθεν ὁ υἱὸς τῆς
this(-man) saw the just(-man) says well came the son of-the
ἐκκλησίας, ὁ ὑπήκοος τῆς φωνῆς αὐτῆς." βαλόντων
church the(-one) obedient to-the voice her having-thrown
οὖν ἀμφοτέρων μετάνοιαν καὶ περιπλακέντων ἀλλήλοις
then both penitence and having-embraced one-another
ἐκάθισαν καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ τὸ σοφὸν ὁ
they-sat and having-opened the mouth his the wise the

πάπας εἶπεν· "Πίστευσόν μοι, δέσποτα, εἰ μὴ ὅτι οἶδά σε
pope said believe me master if not that I-know you
πάνυ θλιβόμενον ἐπὶ τούτῳ, ἐπεὶ οὐκ ὤκνουν ἐγὼ
greatly afflicted at this since not I-would-have-hesitated I
ἐλθεῖν πρὸς τὴν λαμπρότητά σου. καὶ γὰρ ὁ κύριος καὶ
to-come to the brilliance your and for the Lord and
θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς αὐτὸς περιήρχετο τὰς πόλεις
God our Jesus Christ he went-about the cities
καὶ τὰς κώμας καὶ τοὺς οἴκους, ἐπισκεπτόμενος καὶ τοὺς
and the villages and the houses visiting and the
ἀνθρώπους." πάντων δὲ ἐπὶ τῇ ταπεινώσει τοῦ ἀρχιερέως
men all and at the humility of-the high-priest
οἰκοδομηθέντων καὶ θαυμασάντων, ἀπεκρίνατο πρὸς αὐτὸν
having-been-edified and having-marveled answered to him
ὁ πατρίκιος· "Πίστευσον, πάτερ, ὅτι οὐκέτι χωροῦσιν
the patrician believe father that no-longer have-room
τὰ ὦτά μου ἐκ τῶν ἐρχομένων καὶ διαβαλλόντων μοι
the ears my from those coming and slandering to-me
τὰ πράγματα." τότε ὁ σοφὸς διδάσκαλος εἶπεν αὐτῷ·
the matters then the wise teacher said to-him
"Πίστευσον, τέκνον καὶ ἄδελφε. ἐὰν πᾶσιν, οἷς ἀκούομεν,
believe child and brother if all what we-hear
θέλωμεν πιστεύειν, πολλῶν ἁμαρτιῶν γινόμεθα κύριοι,
we-wish to-believe of-many sins we-become masters
μάλιστα ἐν τῷ καιρῷ τούτῳ, ὡς ἐγένοντο οἱ πολλοὶ τῶν
especially in the time this as have-become the many of-the
ἀνθρώπων μισάλληλοι, κἀμὲ γὰρ πολλάκις παρωδήγησαν
men hating-one-another me-too for often misled
οἱ προσαναφέροντες τὰς διοικήσεις τῶν πραγμάτων,
those reporting the administrations of-the affairs
καὶ μετὰ τὸ ποιῆσαί με πολλάκις τὴν ἐπεξέλευσιν, ὡς
and after the to-make me often the prosecution as

παρωδηγήθην, ὕστερον ἄλλοι τινὲς προσανέφερόν μοι, ὅτι
I-was-misled later others some reported to-me that
παρεδιδάχθην ἐν τῷ κεφαλαίῳ. ὡς οὖν τοῦτο δεύτερον
I-was-misinformed in the case when then this a-second
καὶ τρίτον ἔπαθον, ἔδωκα ὅρον ἑαυτῷ ἐκτὸς τῶν
and a-third(-time) I-suffered I-gave (a)-rule to-myself without the
ἑκατέρων μερῶν μὴ δοῦναι τομὴν εἰς κεφάλαιόν ποτε,
both parties not to-give decision in (a)-case ever
τοῖς δὲ προσαναφέρουσίν μοι, ὅτι, ἐὰν ψεύσωνται, τὴν
to-those and reporting to-me that if they-lie the
ἁρμόζουσαν τιμωρίαν τῷ συκοφαντηθέντι ταύτην
fitting punishment for-the(-one) slandered this
τῷ προσανενέγκαντί μοι καὶ ψευσαμένῳ διδόναι. καὶ
to-the(-one) having-reported to-me and having-lied to-give and
ἐξ ἐκείνης τῆς ἡμέρας οὐδεὶς λοιπὸν τολμᾷ ἀνασφαλῶς
from that the day no-one now dares recklessly
κατά τινος προσανενέγκαι μοι τίποτε τὸ σύνολον.
against anyone to-report to-me anything the at-all
ὅπερ δυσωπῶ καὶ νουθετῶ τὴν σὴν μεγαλοπρέπειαν,
which-very-thing I-beseech and I-admonish the your magnificence
τέκνον, ὁμοίως ποιῆσαι. πολλάκις γὰρ καὶ φόνους
child likewise to-do often for even murders
ἀνευθύνους ποιοῦσιν οἱ τὸ ἄρχειν πεπιστευμένοι, ἐὰν
unaccountable commit those the to-rule having-been-entrusted-with if
ὑπάρχωσι λογοπειθεῖς καὶ ἀβασανίστως τέμνωσιν τὰ εἰς
they-are credulous and without-examination decide the to
αὐτοὺς ἐρχόμενα κεφάλαια.” καὶ ὁ πατρίκιος ὥσπερ ὑπὸ
them coming cases and the patrician as by
θεοῦ παραγγελθεὶς συνέθετο τὴν αὐτοῦ ἐντολὴν φυλάττειν
God commanded agreed the his commandment to-keep
ἄτρωτον.
unwounded

When a shopkeeper insults John's nephew George, John promises a deed to astonish Alexandria, and remits the man's rents. He bars a grudge-bearing deacon from communion until he is reconciled. His conversation is scripture and the fathers, never gossip. Like an emperor at his crowning, he orders his tomb left unfinished, so that he may be told on feast days to finish it. He sends Modestus a thousand of every provision and a thousand Egyptian workmen for Jerusalem's burned churches. Given a blanket worth thirty-six nomismata, he lies awake thinking of the poor and sells it, and the donor buys it back three times.

Οὗτος ὁ ἀοίδιμος εἶχέν τινα ἀνεψιὸν ὀνόματι Γεώργιον. 16
this the celebrated(-man) had a-certain nephew by-name George
ἐν μιᾷ οὖν ποιήσαντος τούτου μετά τινος τῶν τῆς
on one(-day) then having-made he with one of-the of-the
πόλεως καπήλων μάχην, ὑβρίσθη ὁ εἰρημένος Γεώργιος
city shopkeepers (a)-fight was-insulted the said George
ὑπ᾽ αὐτοῦ χαλεπῶς. ὁ δὲ πονήσας πικρῶς οὐ μόνον
by him grievously he and having-been-pained bitterly not only
διὰ τὸ δημοσίως αὐτὸν ἀτιμασθῆναι, ἀλλ᾽ ὅτι καὶ
because-of the publicly him to-have-been-dishonored but because also
ὑπὸ οἰκτροτέρου, μάλιστα δὲ καὶ διὰ τὸ εἶναι
by (a)-more-wretched(-man) especially and also because-of the to-be
αὐτὸν ἀνεψιὸν τοῦ πάπα, ἀνέρχεται πρὸς αὐτὸν ἐν τῷ
him nephew of-the pope goes-up to him in the
κουβουκλείῳ αὐτοῦ ἰδιάζοντος, κλαίων σφοδρῶς. ὡς δὲ
chamber his being-alone weeping vehemently when and
τοῦτον οὕτως συνεχόμενον καὶ δακρύοντα ἐθεάσατο ὁ
this(-man) thus distressed and weeping saw the
πραότατος πατριάρχης, ἐπηρώτα αὐτὸν τὴν αἰτίαν τῆς
most-gentle patriarch he-asked him the cause of-the
κατεχούσης αὐτὸν ἀθυμίας, μαθεῖν ταύτην βουλόμενος.
possessing him dejection to-learn this wishing

ὡς δὲ οὐκ ἴσχυσεν αὐτὸς ἐκ τῆς περιεχούσης πικρίας
when and not was-able he from the besetting bitterness
διαρθρῶσαι τὸν λόγον, οἱ παριστάμενοι σὺν αὐτῷ ὅτε
to-articulate the word those standing-by with him when
ἡ ἀτιμία αὐτῷ συνέβη παρὰ τοῦ ἐργαστηριακοῦ, ἤρξαντο
the dishonor to-him happened from the workman began
ἀπαγγέλλειν τῷ πάπᾳ τὴν αἰτίαν. "καὶ ὡς ὅτι οὐκ
to-report to-the pope the cause and as that not
ὤφειλεν," φησὶν, "οὕτως ἡ ἁγιωσύνη ὑμῶν καταφρονεῖσθαι,
ought says thus the holiness your to-be-despised
ὥστε τοὺς οἰκείους αὐτοῦ καὶ συγγενεῖς ἀτιμάζεσθαι ὑπὸ
so-that the own(-people) his and kinsmen to-be-dishonored by
ἐξουθενημένων ἀνδρῶν." ὁ δὲ ὄντως ἀληθινὸς ἰατρὸς
despised men the and truly true physician
θέλων πρῶτον ὥσπερ ἐμπλάστρῳ τινὶ ἀποθεραπεῦσαι
wishing first as by-plaster a-certain to-heal
τὴν τοῦ οἰκείου ἀνεψιοῦ μανίαν, καὶ τότε ὥσπερ σιδήρῳ
the of-the own nephew madness and then as by-iron
τὴν τομὴν καὶ ἀπαλλαγὴν τοῦ πάθους διὰ τοῦ πανσόφου
the cutting and release of-the passion through the all-wise
αὐτοῦ στόματος τούτῳ προσενέγκαι, τοιούτοις ἤρξατο
his mouth to-him to-apply with-such began
λόγοις κατασβεννύειν τὸ πάθος καὶ λέγειν. "Καὶ ὅλως
words to-quench the passion and to-say and at-all
ἐτόλμησέν τις ἀνοῖξαι τὸ στόμα καὶ ἀντιφθέγξασθαι πρὸς
dared anyone to-open the mouth and to-speak-against toward
σέ; πίστευσον, τέκνον, ἐμοὶ τῷ πατρί σου, ὅτι ποιῶ εἰς
you believe child me the father your that I-do to
αὐτὸν σήμερον πρᾶγμα, ἵνα ξενισθῇ πᾶσα ἡ Ἀλεξάνδρεια."
him today (a)-thing that may-marvel all — Alexandria
καὶ ὅτι εἶδεν αὐτὸν ἀποθεραπευθέντα καὶ τὴν λύπην
and because he-saw him healed and the grief

ἅπασαν ἀποτιναξάμενον, ὡς νομίζοντα ὅτι ἐπεξέρχεται
all having-shaken-off as thinking that he-proceeds-against
τῷ ὑβρίσαντι αὐτὸν καὶ βουνευρίζει καὶ πομπεύει αὐτὸν
the(-one) having-insulted him and flogs and parades him
διὰ τοῦ ἐπάνω τῆς ἀγορᾶς, λέγει αὐτῷ καταφιλῶν
through the(-one) over the market says to-him kissing
τὸ στῆθος αὐτοῦ· "Τέκνον, ἐὰν ἐπ' ἀληθείας ἀνεψιὸς ἐμοῦ
the breast his child if in truth nephew of-me
τοῦ ταπεινοῦ ὑπάρχῃς, ἑτοίμασον σεαυτὸν καὶ δαρῆναι
the lowly(-one) you-are prepare yourself both to-be-beaten
καὶ ὑβρισθῆναι ὑπὸ παντὸς ἀνθρώπου· ἡ γὰρ ἀληθινὴ
and to-be-insulted by every man the for true
συγγένεια οὐκ ἐξ αἵματος καὶ σαρκὸς, ἀλλ' ἐκ τῆς ἀρετῆς
kinship not from blood and flesh but from the virtue
τῆς ψυχῆς γνωρίζεται." εὐθέως οὖν μεταστειλάμενος τὸν
of-the soul is-known at-once then having-sent-for the(-one)
ἐπάνω τῶν καπήλων, παρήγγειλεν αὐτῷ μηδέποτε λαβεῖν
over the shopkeepers he-ordered him never to-take
ἐξ ἐκείνου τοῦ καπήλου μήτε τὰς συνηθείας αὐτοῦ μήτε
from that the shopkeeper neither the dues his nor
δημόσια μήτε τὸ ἐνοίκιν τοῦ ἐργαστηρίου αὐτοῦ. τῆς
taxes nor the rent of-the workshop his of-the
γὰρ ἁγιωτάτης ἐκκλησίας καὶ αὐτὸ ὑπῆρχε. καὶ ἅπαντες
for most-holy church also it was and all
ἐκπλαγέντες τὴν ἀκίνητον τοῦ ἀνδρὸς μακροθυμίαν,
having-been-astonished-at the immovable of-the man long-suffering
ἐνόησαν τοῦτο εἶναι, ὅπερ εἶπεν, ὅτι ποιῶ εἰς αὐτὸν
understood this to-be which-very-thing he-said that I-do to him
πρᾶγμα, ἵνα ξενισθῇ πᾶσα ἡ Ἀλεξάνδρεια, τουτέστι τοῦ
(a)-thing that may-marvel all — Alexandria that-is —
συγκροτῆσαι αὐτὸν ἀντὶ τοῦ ἀμύνασθαι.
to-help him instead-of the to-avenge

17 Ἐμηνύθη ποτὲ τούτῳ τῷ μακαρίῳ, ὅτι τις τῶν κληρικῶν
it-was-reported once to-this the blessed(-man) that one of-the clergy
μνησικακῶν πρός τινα ἀδιάλλακτος αὐτῷ διαμένει. ὁ
bearing-a-grudge toward someone unreconciled with-him remains he
δὲ ἐπεζήτει τὸ τούτου ὄνομα μαθεῖν καὶ τὸν βαθμόν.
and sought the of-this(-man) name to-learn and the rank
κυριακῆς οὖν οὔσης τῇ ἐπαύριον ἔμαθεν τοῦτον Δαμιανὸν
Lord's-day then being on-the next-day he-learned this(-man) Damian
μὲν ὀνομάζεσθαι, διάκονον δὲ ὑπάρχειν. παρήγγειλεν οὖν
indeed to-be-named deacon and to-be he-ordered then
τῷ ἀρχιδιακόνῳ, ἵνα ὅταν εἰς τὴν ἐκκλησίαν ἔλθῃ ὁ
the archdeacon that when into the church should-come the
αὐτὸς Δαμιανὸς, ὑποδείξῃ αὐτὸν αὐτῷ, μηδὲν τὸ σύνολον
same Damian he-should-point-out him to-him nothing the at-all
λέγων αὐτῷ. τῆς οὖν ἁγίας συνάξεως τῇ κυριακῇ γινομένης
saying to-him of-the then holy synaxis on-the Lord's-day taking-place
τῇ ἐπαύριον ἦλθεν καὶ ὁ διάκονος εἰς τὴν σύναξιν, καὶ
on-the next-day came also the deacon to the synaxis and
θεωρήσας ὁ ἀρχιδιάκονος, ὑπέδειξεν αὐτὸν τῷ πατριάρχῃ.
having-seen(-him) the archdeacon pointed-out him to-the patriarch
δι' αὐτὴν οὖν καὶ μόνην τὴν ὑπόθεσιν παρέστη τότε ὁ
because-of this then and only the matter stood then the
πάπας τῷ ἁγίῳ θυσιαστηρίῳ· τί δὲ ἐβούλετο ποιῆσαι,
pope at-the holy altar what and he-wished to-do
οὐδενὶ ἐθάρρησεν. ὡς οὖν ἦλθεν ὁ διάκονος Δαμιανὸς
to-no-one he-confided when then came the deacon Damian
δέξασθαι ἐξ αὐτοῦ τὴν ἁγίαν κοινωνίαν κατὰ τὸν ἴδιον
to-receive from him the holy communion according-to the own
βαθμὸν, ἐκράτησεν τὴν χεῖρα αὐτοῦ ὁ ὅσιος καὶ εἶπεν·
rank took the hand his the holy(-man) and said
" Ὕπαγε πρότερον, διαλλάγηθι τῷ ἀδελφῷ σου καὶ τότε
go first be-reconciled to-the brother your and then

ἐλθὼν ἀξίως μεταλάμβανε τῶν ἀχράντων τοῦ ἀμνησικάκου
having-come worthily partake of-the undefiled of-the grudge-free
Χριστοῦ μυστηρίων." ἐντραπεὶς οὖν ἐπὶ τοῦ τοσούτου
Christ mysteries having-been-shamed then before the so-great
πλήθους τῶν κληρικῶν ἀντειπεῖν τῷ ὁσίῳ καὶ μάλιστα ἐν
multitude of-the clergy to-contradict the holy(-man) and especially in
τοιούτῳ τόπῳ καὶ ἐν τοιαύτῃ φρικτῇ ὥρᾳ, συνέθετο τοῦτο
such place and in such awful hour he-agreed this
ποιῆσαι, καὶ τότε τῶν ἁγίων μυστηρίων μετέδωκεν αὐτῷ.
to-do and then of-the holy mysteries he-gave-a-share to-him
ἔκτοτε οὖν ἅπαντες κληρικοί τε καὶ λαϊκοὶ παρεφυλάττοντο
from-then then all clergy both and laymen guarded
μὴ μνησικακεῖν ἀλλήλοις, φοβούμενοι μὴ καὶ αὐτοὺς
not to-bear-grudges against-one-another fearing lest also them
θριαμβεύσῃ καὶ καταισχύνῃ, ὃν τρόπον καὶ τὸν διάκονον.
he-might-expose and shame in-what manner also the deacon
Εἶχεν μὲν οὖν γνῶσιν καὶ τῶν θείων γραφῶν ὁ 18
he-had indeed then knowledge also of-the divine scriptures the(-one)
ἐν ἁγίοις, οὐκ ἐν σοφίᾳ δὲ λόγου ταύτας ὡς ἐπὶ
in saints not in wisdom but of-word these as for
κενοδοξίας ἀποστηθίζων, ἀλλὰ δι' αὐτῆς τῆς τῶν ἔργων
vainglory learning-by-heart but through very the of-the works
πράξεως καὶ τῆς τῶν ἐντολῶν τηρήσεως. καὶ ἦν
practice and of-the of-the commandments keeping and it-was
ἰδέσθαι τὸ σέκρετον αὐτοῦ ἐφ' ἑκάστης, οὐδένα λόγον
to-see the council-chamber his on each(-day) no word
ἀργὸν κεκτημένον — πλὴν εἰ μὴ διοίκησις πράγματος
idle having except if not (the)-administration of-(a)-matter
πολιτικοῦ κατέλαβεν — ἀλλ' ἢ διηγήματα ἁγίων
civil came-up but either stories of-holy
πατέρων ἢ γραφικὰ ζητήματα ἢ δογματικὰ προβλήματα
fathers or scriptural questions or doctrinal problems

διὰ τὸ πλῆθος τῶν περιεχόντων τὴν χώραν ἀνωνύμων
because-of the multitude of-the besetting the country nameless
αἱρετικῶν· ἐὰν δέ πού τις καταλαλίας ἀπήρξατο,
heretics if and anywhere anyone slander began
τοῦτον εὐφυῶς ὁ πάπας δι' ἑτέρας συντυχίας, ὡς
this(-man) cleverly the pope through other conversation as
σοφὸς, ἀντιπεριέσπα, καὶ εἰ πάλιν ἐπέμενεν, οὐδὲν τέως
wise diverted and if again he-persisted nothing meanwhile
αὐτῷ ἔλεγεν, ἀλλὰ τοῦτον σημειούμενος παρήγγειλεν τῷ
to-him he-said but this(-man) marking he-ordered the
ἑβδομαρίῳ μηκέτι ἐᾶσαι αὐτὸν συνεισελθεῖν τοῖς μηνύουσιν,
hebdomadarius no-longer to-allow him to-come-in-with those reporting
ὥστε δι' αὐτοῦ καὶ τοὺς λοιποὺς σωφρονισθῆναι.
so-that through him also the rest to-be-chastened

19 Ὅρον δὲ καὶ ἄλλον ὃν ἐπετήδευσεν ὁ δίκαιος, δίκαιον
rule and also another which practiced the just(-man) right
μὴ παριδεῖν. ἀκούσας ὅτι ἡνίκα ἂν στεφθῇ βασιλεὺς, οὐδεὶς
not to-overlook having-heard that when — is-crowned (an)-emperor no-one
πρὸ τῶν μνημοραλίων μηνύει πρὸς αὐτὸν, τῆς συγκλήτου
before the tomb-builders reports to him the senate
ἁπάσης καὶ τῶν στρατευμάτων παρεστώτων· ἀλλ' εὐθέως
whole and the armies standing-by but at-once
οἱ εἰρημένοι τῶν μνημάτων οἰκοδόμοι λαμβάνουσιν τέσσαρα
the said of-the tombs builders take four
ἢ πέντε κόμματα μαρμάρων μικρὰ ἐκ διαφόρων χροιῶν καὶ
or five pieces of-marbles small of different colors and
εἰσέρχονται πρὸς αὐτὸν καὶ λέγουσιν· "Ποίου μετάλλου τὸ
go-in to him and say of-what material the
μνῆμά σου κελεύει γενέσθαι τὸ κράτος σου", αἰνισσόμενοι
tomb your commands to-be-made the might your hinting
αὐτῷ, ὅτι ὡς ἄνθρωπος φθαρτὸς καὶ παρερχόμενος
to-him that as man mortal and passing

φρόντισον τῆς ἑαυτοῦ ψυχῆς καὶ εὐσεβῶς τὴν βασιλείαν
take-thought-for the own soul and piously the empire
διοίκησον, μιμεῖται καὶ οὗτος ὁ μακάριος τὴν ἀξιέπαινον
administer imitates also this the blessed(-man) the praiseworthy
ἀληθῶς ταύτην παράδοσιν καὶ ἐπιτρέπει ἑαυτῷ μνῆμα
truly this tradition and directs for-himself (a)-tomb
οἰκοδομηθῆναι, ὅπου καὶ οἱ λοιποὶ πρὸ αὐτοῦ πατριάρχαι
to-be-built where also the other before him patriarchs
κατέκειντο, ἀτελείωτον δὲ τοῦτο διαμεῖναι ἄχρι τῆς αὐτοῦ
lay unfinished and this to-remain until the his
τελευτῆς, ἵνα, ὡς ἀτελειώτου ὑπάρχοντος, κατ᾽ ἐπίσημον
end so-that as unfinished being on (a)-notable
ἑορτὴν, τοῦ κλήρου παρισταμένου, εἰσέρχονται οἱ λεγόμενοι
feast the clergy standing-by go-in the called
φιλόπονοι, λέγουσι πρὸς αὐτόν· "Τὸ μνῆμά σου, δέσποτα,
diligent-men say to him the tomb your master
ἀτελείωτον ὑπάρχει. ἐπίτρεψον οὖν, ἵνα τελειωθῇ, διότι
unfinished is direct then that it-be-finished because
οὐκ οἶδας ποίαν ὥραν ὁ κλέπτης ἔρχεται." τοῦτο δὲ
not you-know in-what hour the thief comes this and
ἐποίει ὁ ὅσιος οὕτως γίνεσθαι βουλόμενος μίμησιν
did the holy(-man) thus to-be-done wishing (an)-imitation
ἀγαθὴν καὶ τοῖς μετ᾽ αὐτὸν πατριάρχαις καταλιπεῖν.
good also to-the after him patriarchs to-leave
Τοῦ κυρίου ἐκ τῆς τῶν ἡμετέρων ἁμαρτημάτων πληθύος 20
the Lord from the of-the our sins multitude
τοὺς οἰκείους ναοὺς συγχωρήσαντος τοὺς ἐν Ἱεροσολύμοις
the own temples having-permitted the(-ones) in Jerusalem
ὑπὸ τῶν θεηλάτων Περσῶν ἐμπρησθῆναι, μαθὼν ὁ
by the God-driven Persians to-be-burned having-learned the
ἁγιώτατος οὗτος πάπας, ἐν πολλῇ στενοχωρίᾳ τυγχάνειν
most-holy this pope in much straitness to-be

τὸν ὅσιον Μόδεστον, τὸν πατριάρχην Ἱεροσολύμων, πρὸς
the holy Modestus the patriarch of-Jerusalem toward
τὴν τούτων ἀνέγερσιν καὶ ἀνοικοδόμησιν ἀποστέλλει αὐτῷ
the of-these raising and rebuilding sends him
χίλια μὲν νομίσματα, χίλια δὲ σακκία σίτου καὶ χίλια
thousand indeed nomismata thousand and sacks of-grain and thousand
ὀσπρέου, χιλίας λίτρας σιδήρου, χίλια κόλαθα μαινομένης,
of-pulse thousand pounds of-iron thousand bundles of-dried-fish
χίλια ἀσκαλώνια οἴνου καὶ χιλίους Αἰγυπτίους ἐργάτας,
thousand jars of-wine and thousand Egyptian workmen
δηλώσας αὐτῷ διὰ γραμμάτων· "Σύγγνωθί μοι, ἐργάτα
having-written to-him through letters forgive me worker
ἀληθινὲ τοῦ Χριστοῦ, μηδὲν πέμψαντι ἄξιον τῶν ναῶν
true — of-Christ nothing having-sent worthy of-the temples
τοῦ Χριστοῦ. ἤθελον γὰρ, πληροφορήθητι, εἰ τῶν
— of-Christ I-wished for be-assured if of-the(-things)
ἐνδεχομένων ἦν, καὶ αὐτὸς ἐγὼ ἐλθεῖν καὶ ἐργατεῦσαι ἐν
possible it-were also myself I to-come and to-work in
τῷ οἴκῳ τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως.
the house of-the holy of-Christ — God our resurrection
πλὴν ἐκεῖνο παρακαλῶ τὴν τιμίαν σου κεφαλὴν, μηδαμοῦ
however that I-beg the honored your head nowhere
ἐντάξαι τὸ ἐλάχιστον ὄνομα τῆς ἐμῆς ἀναξιότητος, ἀλλὰ
to-set-down the least name of-the my unworthiness but
μᾶλλον τοῦτο αἰτήσασθαι Χριστὸν ἐκεῖ με ἀπογράψασθαι,
rather this to-ask Christ there me to-enroll
ἔνθα ἀληθῶς ἡ ἀπογραφὴ ἡ μακαρία."
where truly the enrollment the blessed

21 Ἐπισπᾶται πρὸς ἑαυτὸν ὁ ὅσιος καὶ τοῦτο τὸ καλὸν,
draws to himself the holy(-man) also this the good(-thing)
λέγω δὴ τὸ ἐν εὐτελεστάτῃ στρωμνῇ ἀνακλίνεσθαι καὶ
I-mean indeed the on most-humble bedding to-lie-down and

οἰκτροῖς σκεπάσμασιν ἐν τῷ ἑαυτοῦ κελλίῳ κεχρῆσθαι· ὃν
with-wretched coverings in the his-own cell to-make-use whom
θεασάμενός τις τῶν κτητόρων τῆς πόλεως, ἀνελθὼν πρὸς
having-seen one of-the landowners of-the city having-gone-up to
αὐτὸν, καὶ ἰδὼν, ὅτι ἐν γοναχίῳ ἐσχισμένῳ καὶ ῥάσῳ
him and having-seen that in (a)-blanket torn and rag
σκέπεται, ἔπεμψεν αὐτῷ γονάχιον νομισμάτων τριάκοντα
he-is-covered sent him (a)-blanket of-nomismata thirty
ἓξ, παρακαλέσας πολλὰ ἐν αὐτῷ αὐτὸν σκέπεσθαι εἰς τὸ
six having-begged much in it him to-be-covered for the
μνημονεύειν, φησὶν, τοῦ προσενέγκαντος. ὁ δὲ τοῦτο
to-remember he-says the(-one) having-offered(-it) he and this
δεξάμενος καὶ διὰ τὴν πολλὴν τοῦ ἀνδρὸς παράκλησιν
having-received and because-of the much of-the man entreaty
σκεπασάμενος τοῦτο μίαν νύκτα, διὰ πάσης σχεδὸν
having-covered-himself-with this one night through all almost
τῆς νυκτὸς ἔλεγεν πρὸς ἑαυτὸν, ὡς οἱ τούτου διηγοῦντο
the night he-said to himself as the of-this(-man) narrated
κουβικουλάριοι· "Τίς εἴπῃ ὅτι ὁ ταπεινὸς Ἰωάννης —
chamberlains who would-say that the lowly John
εἶχεν γὰρ ἀεὶ ἐπὶ στόματος τὸν λόγον τοῦτον — εἰς
he-had for always on (the)-mouth the saying this in
τριάκοντα ἓξ νομισμάτων παλλὶν σκεπάζεται, καὶ οἱ
of-thirty six nomismata cloak is-covered and the
ἀδελφοὶ τοῦ Χριστοῦ ἐκ τοῦ ψύχους ἀποπήγνυνται.
brothers — of-Christ from the cold are-frozen
πόσοι εἰσὶν ἄρτι τρίζοντες τοὺς ὀδόντας ἀπὸ τοῦ κρύους·
how-many are now gnashing the teeth from the frost
πόσοι εἰσὶν ψιαθίον ἔχοντες κάτωθεν τὸ ἥμισυ καὶ
how-many are (a)-mat having below the half and
ἄνωθεν τὸ ἥμισυ, καὶ οὐ δύνανται ἁπλῶσαι τοὺς ἑαυτῶν
above the half and not are-able to-stretch-out the their-own

πόδας, ἀλλὰ κοιμῶνται ὡς κουβάριν, τρέμοντες. πόσοι
feet but sleep as (a)-ball trembling how-many
εἰς ὄρος ἐκοιμήθησαν ἄδειπνοι καὶ ἄλυχνοι, ἔχοντες
on (the)-mountain slept supperless and lampless having
διπλῆν ὀδύνην ἔκ τε τοῦ ψύχους καὶ τῆς νηστείας.
double pain from both the cold and the fasting
πόσοι ἐπιθυμοῦσιν χορτασθῆναι ἀπὸ τῶν φυλλολαχάνων
how-many long to-be-filled from the vegetable-leaves
τῶν ῥιπτομένων ἀπὸ τοῦ ἐμοῦ μαγειρείου. πόσοι ἤθελον
the thrown-out from the my kitchen how-many would-wish
βάψαι τὸν ἑαυτῶν ψωμὸν εἰς τὸν ζωμὸν, ὃν ῥίπτουσιν
to-dip the their-own bread into the broth which throw-out
οἱ ἐμοὶ μάγειροι· πόσοι ἐπιθυμοῦσιν κἂν ὀσφρανθῆναι
the my cooks how-many long even to-smell
οἴνου τοῦ ἐκχυνομένου εἰς τὸ ἐμὸν κελλάριον. πόσοι εἰσὶν
wine the poured-out into the my cellar how-many are
εἰς τὴν πόλιν ταύτην ἐν τῇ ὥρᾳ ταύτῃ ξένοι μὴ ἔχοντες
in the city this at the hour this strangers not having
ποῦ καταλῦσαι, καὶ ἐν τῇ ἀγορᾷ κείμενοι, ἴσως καὶ
where to-lodge and in the market lying perhaps also
βρεχόμενοι. πόσοι ἄρα ἔχουσιν ὅλον τὸν μῆνα ἢ καὶ δύο
being-rained-on how-many then have whole the month or even two
μὴ γευσάμενοι ἐλαίου· πόσοι εἰσὶν μὴ ἔχοντες δεύτερον
not having-tasted oil how-many are not having second
ἱμάτιον θέρους καὶ χειμῶνος καὶ οὕτως ταλαιπωροῦσιν.
garment of-summer and of-winter and thus suffer
σὺ δὲ προσδοκῶν καὶ τῆς αἰωνίου ἀπολαύσεως τυχεῖν καὶ
you but expecting also of-the eternal enjoyment to-obtain both
οἶνον πίνεις καὶ ἰχθύας παμμεγέθεις ἀναλίσκεις καὶ εἰς
wine drink and fish very-large consume and in
κουβούκλεια διατρίβεις, ἄρτι δὲ μετὰ ὅλων τῶν κακῶν
chambers pass-time now and with all the evils

καὶ εἰς γονάχιον τριάκοντα ἓξ νομισμάτων θερμαίνῃ.
also in (a)-blanket of-thirty six nomismata you-warm-yourself
ὄντως οὕτως ζῶν καὶ ἐν τοιαύτῃ ἀνέσει διάγων μὴ
truly thus living and in such ease passing-your-life not
προσδοκήσῃς τῶν ἐκεῖ ἡτοιμασμένων ἀγαθῶν ἀπολαῦσαι·
expect of-the there prepared good(-things) to-enjoy
ἀλλ᾽ ἀκούσῃ πάντως, ὃ καὶ ὁ πλούσιος ἐκεῖνος
but you-will-hear surely what also the rich(-man) that
ἤκουσεν· ‘ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, οἱ δὲ
heard you-received the good(-things) your in the life your the and
πτωχοὶ τὰ κακά.’ νῦν δὲ αὐτοὶ παρακαλοῦνται, σὺ δὲ
poor the evil(-things) now but they are-comforted you but
ὀδυνᾶσαι. εὐλόγητος ὁ θεός· ὁ ταπεινὸς Ἰωάννης ἄλλην
are-in-anguish blessed — God the lowly John another
νύκτα εἰς σὲ οὐ σκεπάζεται. δίκαιον γὰρ καὶ εὐαπόδεκτον
night in you not is-covered right for and acceptable
τῷ θεῷ, ἵνα σκεπάζωνται ρμδ΄ ἀδελφοὶ καὶ δεσπόται
— to-God that be-covered 144 brothers and masters
σου, ἢ σὺ ὁ ταλαίπωρος.” ἐπιπράσκοντο γὰρ τέσσαρα
your than you the wretched were-sold for four
παλλία τοῦ νομίσματος. εὐθέως οὖν ἔπεμψεν αὐτὸ ἐπὶ
cloaks for-the nomisma at-once then he-sent it on
τὴν αὔριον, ἵνα πραθῇ, καὶ θεωρήσας αὐτὸ ὁ τοῦτο
the morrow that it-be-sold and having-seen it the(-one) this
προσενέγκας ἠγόρασεν αὐτὸ εἰς τριάκοντα ἓξ νομίσματα
having-offered bought it for thirty six nomismata
καὶ πάλιν προσήνεγκεν αὐτὸ τῷ πάπᾳ. ὡς δὲ πάλιν ἐπὶ
and again offered it to-the pope when and again on
τὴν αὔριον εἶδεν αὐτὸ προβληθὲν, ἠγόρασεν αὐτὸ ὁμοίως
the morrow he-saw it put-up(-for-sale) he-bought it likewise
καὶ προσήνεγκεν τῷ πάπᾳ, δυσωπῶν ἵνα σκεπάζηται
and offered(-it) to-the pope begging that he-be-covered

αὐτῷ. ὡς δὲ τρίτον τοῦτο ἐποίησεν, λέγει αὐτῷ ὁ
with-it when and a-third(-time) this he-did says to-him the(-one)
ἐν ἁγίοις χαριεντιζόμενος· "Ἴδωμεν τίς περικακεῖ, ἐγὼ ἢ
in saints jesting let-us-see who will-tire-first I or
σύ." ἦν γὰρ τῶν εὐπόρων πάνυ, καὶ ἡδέως ἐτρύγα αὐτὸν
you he-was for of-the rich very and gladly harvested him
ὁ ὅσιος καὶ ἔλεγεν ἀεὶ, ὅτι ἐὰν σκοπῷ τοῦ δοῦναι
the holy(-man) and said always that if with-aim of-the to-give
τοῖς πτωχοῖς δύναταί τις καλοθελῶς ἀποδῦσαι τοὺς
to-the poor is-able anyone with-good-will to-strip the
πλουσίους καὶ αὐτὸ τὸ ὑποκάμισον αὐτῶν, οὐχ ἁμαρτάνει,
rich even very the shirt their not he-sins
καὶ μάλιστα, ἐάν εἰσιν ἄσπλαγχνοί τινες καὶ σκνιφοί. δύο
and especially if they-are merciless some and stingy two
γὰρ ταῦτα κερδαίνει ὁ τοιοῦτος, ἓν μὲν ὅτι τὰς ψυχὰς
for these(-things) gains the such(-man) one indeed that the souls
ἐκείνων σῴζει, δεύτερον δὲ ὅτι καὶ αὐτὸς ἐκ τούτου
of-those he-saves second and that also he from this
μισθὸν οὐκ ὀλίγον ἔχει. ἔφερεν δὲ καὶ πρὸς πίστωσιν
reward not little has he-adduced and also for confirmation
τοῦ λόγου καὶ μαρτυρίαν ἀληθῆ τὸ κατὰ τὸν ἅγιον
of-the saying and witness true the(-story) about the holy
Ἐπιφάνιον καὶ Ἰωάννην τὸν ἐπίσκοπον Ἱεροσολύμων, πῶς
Epiphanius and John the bishop of-Jerusalem how
διὰ τέχνης ἐπῆρεν τὸν ἄργυρον τοῦ πατριάρχου, ἤγουν
by craft he-took the silver of-the patriarch that-is
αὐτοῦ τοῦ Ἰωάννου καὶ δέδωκεν τοῖς δεομένοις.
himself — of-John and gave(-it) to-the needy

XXII · PETER THE TAX COLLECTOR

John tells of Peter, a merciless tax collector in Africa. Beggars wager that no one can get alms from him, and one does: Peter, angry, throws a loaf at him. Falling ill, Peter sees his deeds weighed, and only that loaf balances the scale. He becomes generous, gives his own undergarment to a shipwrecked sailor, and sees Christ wearing it in a dream. He has his notary sell him as a slave in Jerusalem and give the price to the poor. As a scullion he endures blows, until silver-dealers from his own country recognize him; he flees, and the deaf-mute doorkeeper who opens for him speaks and hears. Such stories, John says, should teach us to give.

Ἄξιον καὶ ἁρμόζον τῷ προειρημένῳ κεφαλαίῳ ἐξηγεῖτο 22
worthy and fitting to-the aforesaid chapter narrated
καὶ τοῦτο ἐν μιᾷ ἐπὶ πάντων ὁ ὅσιος. εἶχόν, φησί,
also this on one(-day) before all the holy(-man) I-had he-says
τινα παραμονήτην εἰς τὴν ἐμὴν ἀποθήκην ἐν Κύπρῳ
a-certain servant in the my storehouse in Cyprus
πιστὸν πάνυ καὶ παρθένον ἕως τελευτῆς αὐτοῦ. οὗτος οὖν
faithful very and virgin until end his this(-man) then
διηγεῖτό μοι, ὅτι “Ἐν Ἀφρικῇ ὄντος μου, γέγονε πρᾶγμα
narrated to-me that in Africa being I happened (a)-thing
τοιοῦτον. παρέμενον γάρ,” φησί, “τινι τελώνῃ εὐπόρῳ
such I-served for he-says a-certain tax-collector rich
σφόδρα καὶ ἀνελεήμονι. ἐν μιᾷ οὖν τῶν πτωχῶν ἐν
exceedingly and merciless on one(-day) then the poor in
χειμῶνι καθεζομένων ἐν τῷ ἡλίῳ καὶ θερμαινομένων,
winter sitting in the sun and warming-themselves
ἤρξατο ἕκαστος τοὺς οἴκους τῶν ἐλεημόνων ἐγκωμιάζειν
began each the houses of-the merciful to-praise
καὶ ὑπερεύχεσθαι ἑνὶ ἑκάστῳ αὐτῶν, ὁμοίως καὶ τοὺς
and to-pray-for one each of-them likewise also the
οἴκους τῶν ἀνελεημόνων ψέγειν. ἐν τῷ μεταξὺ οὖν ἦλθεν
houses of-the merciless to-blame in the meantime then came

εἰς μέσον αὐτῶν καὶ τὸ ὄνομα τοῦ αὐθέντου μου τοῦ
into (the)-midst of-them also the name of-the master my the
τελώνου, καὶ ἤρξαντο ὁ καθεῖς ἐρωτᾶν τὸν πλήσιον·
tax-collector and began the each to-ask the neighbor
‘Ὄντως, σὺ ἄδελφε, ἔλαβές ποτε ἐκ τοῦ οἴκου ἐκείνου
truly you brother did-you-receive ever from the house that
ἐντολήν;’ καὶ πάντων ἐρωτησάντων ἀλλήλοις οὐδεὶς εὑρέθη
(an)-alms and all having-asked one-another no-one was-found
λαβών ποτε ἐκ τοῦ οἴκου αὐτοῦ τίποτε. λέγει οὖν
having-received ever from the house his anything says then
εἷς ἐξ αὐτῶν· ‘Τί δίδετέ μοι κἀγὼ λαμβάνω σήμερον
one of them what do-you-give me I-too receive today
ἐξ αὐτοῦ ἐντολήν;’ καὶ ποιησάντων μετ’ αὐτοῦ συνθήκην,
from him (an)-alms and they-having-made with him (a)-wager
ἔρχεται καὶ ἵσταται ἔξωθεν τοῦ πυλῶνος τοῦ οἴκου
he-comes and stands outside the gateway of-the house
τοῦ τελώνου, περιμένων πότε μισσεύσῃ. ἐξ οἰκονομίας
of-the tax-collector waiting-for when he-would-come-in by dispensation
οὖν τοῦ θεοῦ ἔφθασαν ὁμοῦ αὐτὸς εἰσερχόμενος εἰς τὸν
then — of-God arrived together he entering into the
πυλῶνα καὶ τὸ ἄλογον πεφορτωμένον τὰ σιλίγνια ἐκ
gateway and the beast loaded-with the fine-loaves from
τοῦ μαγκιπείου λόγῳ τοῦ ἀρίστου αὐτοῦ. θεωρήσας οὖν
the bakery for-the-use of-the meal his having-seen then
τὸν πτωχὸν, ἁρπάζει ἀπὸ θυμοῦ, μὴ εὑρὼν λίθον, ἓν
the poor-man he-snatches from temper not having-found (a)-stone one
σιλίγνιον ἐκ τοῦ κανθηλίου καὶ ἀπολύει εἰς τὸ πρόσωπον
fine-loaf from the pannier and lets-fly at the face
αὐτοῦ. ἐκεῖνος οὖν ἐδέξατο αὐτὸ καὶ ἀπῆλθεν πληροφορῶν
his he then received it and went-off assuring
τοὺς συναδέλφους αὐτοῦ ὅτι ἐξ αὐτῶν τῶν χειρῶν αὐτοῦ
the fellow-brothers his that from very the hands his

ἐδέξατο αὐτό. μετὰ οὖν δύο ἡμέρας ἠσθένησεν ὁ τελώνης
he-received it after then two days fell-ill the tax-collector
ἀσθένειαν εἰς θάνατον καὶ θεωρεῖ κατὰ τοὺς ὕπνους ἑαυτὸν
(an)-illness to death and sees in the sleep himself
λογοθετούμενον καὶ τὰς ἑαυτοῦ πράξεις πάσας ἐπὶ ζυγοῦ
being-called-to-account and the his-own deeds all on (a)-balance
σταθμιζομένας. εἰς τὴν μίαν οὖν πλάστιγγα συνήγοντό
being-weighed on the one then scale were-gathering
τινες μαῦροι κακοειδεῖς. ἡ δὲ ἄλλη πλάστιξ ἄλλων τινῶν
some black ill-favored(-ones) the and other scale of-others some
ὑπῆρχεν λευχειμονούντων καὶ φοβερῶν τῷ εἴδει, οἵτινες
was white-robed and fearful in-the form who
μηδὲν εὑρίσκοντες ἀγαθὸν ἀντισταθμῆσαι πρὸς τὰ πονηρὰ
nothing finding good to-set-in-the-balance against the wicked
ἔργα τὰ συναγόμενα ὑπὸ τῶν μαύρων εἰς τὴν ἑαυτῶν
deeds the(-ones) gathered by the black(-ones) into the their-own
πλάστιγγα λίαν ἐλυποῦντο καὶ ἐστύγναζον καὶ διηπόρουν
scale greatly were-grieved and were-gloomy and were-at-a-loss
πρὸς ἀλλήλους καὶ ἔλεγον· Εἶτα ἡμεῖς οὐδὲν ἔχομεν
with one-another and said then we nothing have
ὧδε.' τότε λέγει εἷς ἐξ αὐτῶν· "Οντως οὐδὲν ἔχομεν,
here then says one of them truly nothing we-have
εἰ μὴ ἓν σιλίγνιον ὃ δέδωκεν πρὸ δύο ἡμερῶν τῷ
if not one fine-loaf which he-gave before two days —
Χριστῷ ἀκουσίως καὶ αὐτό.' καὶ βαλόντων αὐτῶν τὸ
to-Christ unwillingly even it and having-put they the
σιλίγνιον ἐξισώθη τῇ ἄλλῃ πλάστιγγι. τότε λέγουσιν
fine-loaf it-was-balanced with-the other scale then say
τῷ τελώνῃ οἱ φαινόμενοι αὐτῷ λευχειμονοῦντες· "Υπαγε,
to-the tax-collector the appearing to-him white-robed(-ones) go
πρόσθες εἰς τὸ σιλίγνιον τοῦτο, ἐπεὶ ὄντως οἱ μαῦροι
add to the fine-loaf this since truly the black(-ones)

οὗτοί σε παραλαμβάνουσιν.' διυπνισθεὶς οὖν ἔγνω τὰ
these you take-over having-awoken then he-knew the(-things)
ὁραθέντα αὐτῷ μὴ εἶναι ψευδῆ, ἀλλὰ ἀληθῆ. πάντα γὰρ
seen by-him not to-be false but true all for
τὰ ἀπὸ νεότητος αὐτοῦ καὶ ἃ ἦν αὐτὸς ἐπιλαθόμενος
the(-things) from youth his and which was he having-forgotten
ἐθεώρει τοὺς αἰθίοπας ἐκείνους συνάγοντας καὶ φέροντας
he-saw the Ethiopians those gathering and bringing
εἰς τὸ ζύγιον. καὶ ἔλεγεν· Ὠβαὶ, ἐὰν ἓν σιλίγνιον ὃ
to the balance and he-said oh if one fine-loaf which
ἔρριψα ἀπὸ θυμοῦ, οὕτως ὠφέλησεν, πόσων κακῶν
I-flung from temper thus benefited from-how-many evils
ῥύεται ἑαυτὸν ὁ μεταδιδοὺς ἐν ἁπλότητι τὰ ἑαυτοῦ
rescues himself the(-one) sharing in simplicity the his-own
ὑπάρχοντα τοῖς χρῄζουσιν.' καὶ τοῦ λοιποῦ οὕτως
possessions with-those needing and for-the rest thus
ἐσωφρόνησεν καὶ ἐγένετο ἄκρος ἐλεήμων, ὡς μηδὲ
he-was-chastened and became extremely merciful so-that not-even
τοῦ ἰδίου σώματος φείσασθαι αὐτόν. συνέβη γάρ ποτε
the own body to-spare him it-happened for once
κατὰ συνήθειαν προσέρχεσθαι αὐτὸν ἀπὸ ἐννύχων εἰς τὸ
by custom to-come him from night to the
τελωνεῖον καὶ ἀπαντᾷ αὐτῷ ναύτης ἀπὸ ναυαγίου γυμνὸς
tax-office and meets him (a)-sailor from (a)-shipwreck naked
ὡς ἐγεννήθη, καὶ προσέπεσεν αὐτῷ δεόμενος σκέπης τυχεῖν.
as he-was-born and fell-before him begging covering to-obtain
ἐκεῖνος οὖν νομίσας ὅτι πτωχός ἐστιν, ἀποδύεται τὸ
he then having-thought that poor he-is strips-off the
ἐσωφόριον αὐτοῦ, ἀναγκαῖον ὑπάρχοντα, καὶ δίδωσιν αὐτὸ
undergarment his necessary being and gives it
παρακαλέσας αὐτὸν ἵνα αὐτὸς αὐτὸ φορέσῃ. ἀπελθὼν δὲ
having-begged him that he it should-wear having-gone-off but

ἐκεῖνος ἐρυθριῶν φορέσαι αὐτὸ ἔδωκεν αὐτὸ εἰς πράτην,
he blushing to-wear it gave it to (a)-dealer
ἵνα πραθῇ. καὶ ὡς ἐμίσσευσεν ὁ τελώνης, θεωρεῖ αὐτὸ
that it-be-sold and when came-in the tax-collector he-sees it
κρεμάμενον καὶ ἐλυπήθη σφόδρα. καὶ ἀνελθὼν εἰς τὸν
hanging and was-grieved exceedingly and having-gone-up to the
οἶκον αὐτοῦ, οὐδενὸς ἠνέσχετο γεύσασθαι, ἀλλὰ κλείσας
house his nothing endured to-taste but having-shut
τὴν θύραν τοῦ κουβουκλείου αὐτοῦ ἐκαθέζετο κλαίων καὶ
the door of-the chamber his sat weeping and
λογιζόμενος ὅτι οὐκ ἐγενόμην ἄξιός, φησιν, ἵνα ἔχῃ μου
reckoning that not I-was worthy he-says that may-have of-me
μνημόσυνον ὁ πτωχός. ὡς οὖν ἠθύμει, ἀπενύσταξεν
(a)-remembrance the poor-man when then he-was-dejected he-dozed-off
καὶ ἰδοὺ θεωρεῖ τινα εὔοπτον ὡς τὸν ἥλιον φοροῦντα
and behold he-sees someone fair-to-see as the sun wearing
σταυρὸν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸ ἐσωφόριον ὃ
(a)-cross on the head his and the undergarment which
ἦν δεδωκὼς τῷ ναύτῃ, ἐπιστάντα καὶ λέγοντα αὐτῷ·
he-was having-given to-the sailor standing-over(-him) and saying to-him
‘Τί κλαίεις, κῦρι Πέτρε;’ τοῦτο γὰρ ἦν ὄνομα αὐτῷ. ὁ
why do-you-weep lord Peter this for was (the)-name to-him he
δὲ φησὶν, ὡς πρὸς θεὸν διαλεγόμενος, ὅτι ‘Δέσποτα, ἐξ
and says as with God conversing that master of
ὧν χορηγεῖς ἡμῖν διδοῦμέν τινι, καὶ εἰς αἰσχροκερδίας
what you-supply us we-give to-someone and for base-gain
λαμβάνουσιν οἱ λαμβάνοντες.’ τότε λέγει αὐτῷ· ‘Γνωρίζεις
take(-it) those receiving then he-says to-him do-you-recognize
τοῦτο;’ καὶ δείκνυσιν αὐτῷ ὅτι ἔσωθεν ἐφόρει τὸ ἐσωφόριον
this and shows him that within he-wore the undergarment
αὐτοῦ. λέγει αὐτῷ· ‘Ναὶ, δέσποτα.’ ὁ δὲ ἀποκριθεὶς εἶπεν
his he-says to-him yes master he and having-answered said

αὐτῷ· ‘Ἰδοὺ ἐγὼ αὐτὸ φορῶ, ἀφ᾽ ἧς ἔδωκάς μοι
to-him behold I it wear from which(-time) you-gave me
αὐτό, καὶ εὐχαριστῶ τῇ προθέσει σου τῇ καλῇ, ὅτι ἐρίγων
it and I-thank the purpose your the good that I-shivered
καὶ ἐσκέπασάς με.’ εἰς ἑαυτὸν οὖν ἐλθὼν ἐξεπλάγη καὶ
and you-covered me to himself then having-come he-was-astonished and
ἤρξατο μακαρίζειν τοὺς πτωχοὺς καὶ λέγειν· Ζῇ κύριος.
began to-call-blessed the poor and to-say lives (the)-Lord
ἐὰν οἱ πτωχοὶ ὁ Χριστός μού ἐστιν, οὐκ ἀποθνήσκω καὶ
if the poor — Christ my is not I-die and
γένωμαι ὡς εἷς ἐξ αὐτῶν.’ Προσκαλεσάμενος οὖν εὐθέως
I-become as one of them having-called then at-once
τὸν νοτάριον αὐτοῦ, ὃν ἦν καὶ ἀγοράσας, λέγει αὐτῷ·
the notary his whom he-had also having-bought says to-him
‘Μυστήριον θέλω θαρρῆσαί σοι καὶ πίστευσον, ἐὰν ἐξάξῃς
(a)-secret I-wish to-confide to-you and believe if you-divulge
αὐτὸ, εἰς βαρβάρους πωλῶ σε ἢ καὶ ἐὰν μὴ ἀκούσῃς
it to barbarians I-sell you or also if not you-listen-to
μου.’ δίδωσιν οὖν αὐτῷ εὐθέως δέκα λίτρας χρυσίου καὶ
me he-gives then him at-once ten pounds of-gold and
λέγει αὐτῷ· ‘Ὕπαγε, ἀγόρασόν σοι πραγματείαν καὶ
says to-him go buy yourself merchandise and
λάβε με καὶ ἀπένεγκε εἰς τὴν ἁγίαν πόλιν καὶ πώλησόν
take me and carry(-me) to the holy city and sell
μέ τινι χριστιανῷ καὶ τὴν τιμήν μου δὸς πτωχοῖς.’
me to-some Christian and the price my give to-poor(-men)
τοῦ δὲ νοταρίου παραιτουμένου καὶ καταπληττομένου,
the and notary declining and being-dismayed
λέγει αὐτῷ πάλιν, ὅτι ‘Ἐὰν μὴ πωλήσῃς με, ἐγώ σε
he-says to-him again that if not you-sell me I you
πωλῶ εἰς βαρβάρους καθὼς προεῖπόν σοι.’ ὑπήκουσεν οὖν
sell to barbarians as I-said-before to-you obeyed then

αὐτῷ ὁ νοτάριος καὶ καταλαβόντων αὐτῶν τοὺς ἁγίους
him the notary and having-reached they the holy
τόπους εὗρέν τινα φίλον αὐτοῦ γνήσιον ὁ νοτάριος
places found a-certain friend his true the notary
ἀργυροκόπον φυράσαντα. εἰς συντυχίαν οὖν ἐλθόντων
(a)-silversmith ruined into conversation then having-come
ἀμφοτέρων λέγει αὐτῷ ὁ νοτάριος· ‘Ἄκουσόν μου, κῦρι
both says to-him the notary hear me lord
Ζωΐλε, καὶ ἀγόρασον ἕνα δοῦλον, ὅτι ἔχω καλὸν,
Zoilus and buy one slave for I-have (a)-good(-one)
ὅτι λέγει ὁ ἄνθρωπος ὅτι πατρίκιός ἐστιν.’ ἀκούσας δὲ
for says the man that (a)-patrician he-is having-heard and
ὁ ἀργυροκόπος, ὅτι δοῦλον ἔχει, ἐθαύμασεν καὶ λέγει
the silversmith that (a)-slave he-has marveled and says
αὐτῷ· ‘Πίστευσον, ὅτι οὐκ εὐπορῶ.’ λέγει πάλιν αὐτῷ
to-him believe that not I-am-well-off says again to-him
ὁ νοτάριος· ‘Δάνεισαι καὶ ἀγόρασον αὐτόν· πολὺ γάρ
the notary borrow and buy him much for
ἐστιν καλός. καὶ εὐλογῆσαί σε ἔχει ὁ θεὸς δι’ αὐτοῦ.’
is(-he) good and to-bless you will — God through him
ἐπείσθη οὖν καὶ ἠγόρασεν αὐτὸν ῥυπαροφοροῦντα εἰς
he-was-persuaded then and bought him dirty-clad for
νομίσματα τριάκοντα. καὶ καταλιπὼν αὐτὸν ὁ νοτάριος,
nomismata thirty and having-left him the notary
ἀνεχώρησεν εἰς Κωνσταντινούπολιν, πληροφορήσας αὐτὸν,
withdrew to Constantinople having-assured him
ὅτι οὐδενὶ θαρρεῖ, ἀλλὰ καὶ ὅτι οὐ νοσφίζεται ἐκ τῆς
that to-no-one he-confides but also that not he-embezzles from the
τιμῆς αὐτοῦ, τοῖς πτωχοῖς δὲ μᾶλλον εὐθέως δίδωσιν.
price his to-the poor but rather at-once he-gives
Ἦν οὖν ἰδέσθαι αὐτὸν ποτὲ μὲν ἑψοῦντα τῷ κυρίῳ
it-was then to-see him sometimes indeed cooking for-the master

αὐτοῦ, ποτὲ δὲ πλύνοντα, καίπερ μηδέποτε ἐν τινὶ
his sometimes and washing although never in any
τούτων συνειθισμένον. ἐταρίχευσεν δὲ ἑαυτὸν καὶ νηστείᾳ
of-these accustomed he-mortified and himself also with-fasting
πολλῇ. ὡς οὖν εἶδεν ἑαυτὸν εὐλογηθέντα ὁ τούτου
much when then saw himself blessed the of-this(-man)
δεσπότης ὑπὲρ πᾶσαν εὐλογίαν, λέγει αὐτῷ αἰδούμενος
master beyond every blessing he-says to-him reverencing
τὴν ἄφατον αὐτοῦ ἀρετὴν καὶ ταπείνωσιν· ‘Θέλω, ταπεινὲ
the unspeakable his virtue and humility I-wish lowly
Πέτρε, ἐλευθερῶσαί σε, καὶ ἵνα ἔσῃ τοῦ λοιποῦ ὡς
Peter to-free you and that you-may-be for-the rest as
ἀδελφός μου.’ ὁ δὲ οὐ κατεδέξατο. ἦν δὲ θεάσασθαι
brother my he but not accepted it-was and to-see
αὐτὸν πολλάκις ὑβριζόμενον καὶ τυπτόμενον ὑπὸ τῶν
him often insulted and beaten by the
συνδούλων αὐτοῦ. εἶχον γὰρ αὐτὸν ὡς ἔξηχον, ὥστε
fellow-slaves his they-held for him as (a)-madman so-that
καὶ ὄνομα αὐτῷ ἐξενέγκαι ὁ παραπαίων. καθότι οὖν
also (a)-name for-him to-bring-out the madman whenever then
ἔθλιβον αὐτὸν οἱ σύνδουλοι αὐτοῦ καὶ ἐκοιμᾶτο ἐν θλίψει,
afflicted him the fellow-slaves his and he-slept in affliction
ἐφαίνετο ὁ φανεὶς αὐτῷ ἐν Ἀφρικῇ φορῶν τὸ
appeared the(-one) having-appeared to-him in Africa wearing the
ἐσωφόριον αὐτοῦ, κρατῶν καὶ τὰ τριάκοντα νομίσματα
undergarment his holding also the thirty nomismata
ἐν τῇ χειρὶ αὐτοῦ λέγων αὐτῷ· ‘Μηδὲν ἀθυμήσῃς, ἄδελφε
in the hand his saying to-him not be-dejected brother
Πέτρε. ἐγὼ ἔλαβον καὶ τὴν τιμήν σου. ἀλλ’ ὑπόμεινον,
Peter I received also the price your but endure
ἕως οὗ γνωρισθῇς.’ μετὰ οὖν χρόνον τινὰ παρεγένοντο
until — you-be-recognized after then time some came

ἀπὸ τῆς χώρας αὐτοῦ τινες ἀργυροπρᾶται ἐπὶ τὸ εὔξασθαι
from the country his some silver-dealers for the to-pray
εἰς τοὺς ἁγίους τόπους. καὶ ἐκάλεσεν αὐτοὺς εἰς ἄριστον
at the holy places and invited them to (a)-meal
ὁ δεσπότης τοῦ κυροῦ Πέτρου. καὶ ἐν τῷ παρατίθειν
the master of-the lord Peter and in the to-serve
αὐτὸν, εὐθέως ἐκεῖνος ἐγνώρισεν αὐτοὺς, καὶ αὐτοὶ δὲ ἐν
him at-once he recognized them and they too in
τῷ ἀριστᾶν αὐτοὺς ἤρξαντο χαρακτηρίζεσθαι αὐτὸν καὶ
the to-dine they began to-take-note-of him and
εἰς τὸ οὖς ἀλλήλων λέγειν· Τί ὁμοιοῖ ὁ παῖς οὗτος τῷ
into the ear of-one-another to-say how resembles the boy this the
κυρῷ Πέτρῳ τῷ τελώνῃ;' ἐκεῖνος δὲ ὑπέκρυβεν, ὅσον
lord Peter the tax-collector he but hid as-much-as
ἠδύνατο, τὴν ὄψιν αὐτοῦ. πάλιν οὖν ἐσθιόντων αὐτῶν,
he-was-able the face his again then eating they
ἤρξαντο λέγειν πρὸς τὸν καλέσαντα αὐτούς· 'Ὄντως
began to-say to the(-one) having-invited them truly
νομίζομεν πρᾶγμά σοι ἐβράχη, κῦρι Ζωΐλε. καὶ γὰρ εἰ
we-think (a)-matter for-you has-rained-down lord Zoilus and for if
μὴ πλανώμεθα, δημόσιον πρόσωπον ἔχεις εἰς ὑπουργίαν
not we-are-deceived (a)-public person you-have for service
σου.' οὐδὲ γὰρ ἐγίνωσκον ἀκριβῶς, ὅτι ἦν ἐκ τοῦ
your not for they-knew exactly because it-was from the
μαγειρείου καὶ τῆς νηστείας ἠλλοιωμένη ἡ ὄψις αὐτοῦ.
kitchen and the fasting altered the face his
ἐπὶ πολὺ οὖν κατανοήσαντες αὐτὸν, λέγει εἷς ἐξ αὐτῶν·
for long then having-observed him says one of them
'Ὄντως ὁ κῦριος Πέτρος ἐστὶν καὶ ἐγείρομαι κρατῶ αὐτόν.
truly the lord Peter it-is and I-rise-up I-seize him
πάνυ γὰρ ὁ βασιλεὺς ἀκούσας ἐλυπήθη περὶ αὐτοῦ, ὅτι
greatly for the emperor having-heard was-grieved about him that

ἄδηλος ἐγένετο.' Ἔξωθεν οὖν ἱστάμενος ἤκουσεν ταῦτα
unseen he-became outside then standing he-heard these(-things)
καὶ θήσας ἐξ ἑαυτοῦ τὸ πινάκιον οὐκ εἰσῆλθεν, ἀλλ'
and having-set-down by himself the dish not he-went-in but
ὠρθοδρόμησεν εἰς τὸν πυλῶνα. ὑπῆρχεν οὖν τῷ
ran-straight to the gateway there-was then to-the(-one)
ἔχοντι αὐτὸν ὀστιάριος μογγὸς καὶ κωφὸς ἀπὸ γεννήσεως,
having him (a)-doorkeeper dumb and deaf from birth
ὅστις διὰ νεύματος μόνον ἤνοιγεν καὶ ἠσφάλιζεν. σπεύδων
who by nod only opened and shut hastening
οὖν ὁ δοῦλος τοῦ θεοῦ ἐξελθεῖν, λέγει τῷ κωφῷ καὶ
then the servant — of-God to-go-out says to-the deaf and
μογγῷ· 'Σοὶ λέγω ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ.' ὁ δὲ
dumb(-man) to-you I-say in (the)-name of-Jesus Christ he and
εὐθέως ὑπήκουσεν καὶ εἶπεν· 'Ναὶ, κῦρι.' ὁ δὲ πάλιν πρὸς
at-once heard and said yes lord he and again to
αὐτόν· 'Ἄνοιξον.' ἀπεκρίθη πάλιν ἐκ δευτέρου· 'ἐγὼ, κῦρι.'
him open he-answered again from second(-time) I lord
ἀνέστη οὖν εὐθέως καὶ ἤνοιξεν αὐτῷ, καὶ ἐξελθόντος αὐτοῦ
he-rose then at-once and opened for-him and having-gone-out he
ἀνῆλθεν ὁ θυρωρὸς καὶ ἔκραξεν ἐπὶ πάντων χαίρων
went-up the doorkeeper and cried before all rejoicing
καὶ ἀγαλλιώμενος, ὅτι ἤκουσεν καὶ ἐλάλησεν 'Κῦρι, κῦρι.'
and exulting that he-heard and spoke lord lord
πάντων δὲ τῶν τοῦ οἴκου ἐκπλαγέντων, ὅτι ἤκουσαν
all and those of-the house having-been-astonished that they-heard
αὐτοῦ λαλοῦντος, πάλιν φησὶν ὁ ποτὲ ἄλαλος· ''Εκεῖνος
him speaking again says the once speechless(-one) that(-man)
ὅπου ἐμαγείρευεν, ἐξῆλθεν τρέχων, ἀλλὰ βλέπετε μήπως
who cooked went-out running but see lest
φεύγων ἐστίν. μέγας γὰρ δοῦλος τοῦ θεοῦ ὑπάρχει ὅτε
fleeing he-is great for servant — of-God he-is when

γὰρ κατῆλθεν, εἶπέν μοι· "Σοὶ λέγω ἐν ὀνόματι κυρίου."
for he-came-down he-said to-me to-you I-say in (the)-name of-(the)-Lord
καὶ εὐθέως εἶδον ἐκ τοῦ στόματος αὐτοῦ ἐξελθοῦσαν
and at-once I-saw from the mouth his having-come-out
φλόγα καὶ ἁψαμένην τῶν ὠτίων μου, καὶ εὐθέως ἤκουσα
(a)-flame and having-touched the ears my and at-once I-heard
καὶ ἐλάλησα.' καὶ ἀναπηδήσαντες καὶ καταδιώξαντες αὐτὸν
and spoke and having-leapt-up and having-pursued him
ἅπαντες, οὐκέτι εἶδον αὐτόν. τότε μετενόουν καὶ ἐκόπτοντο
all no-longer saw him then repented and beat-their-breasts
ἅπαντες οἱ τοῦ οἴκου καὶ αὐτὸς ὁ κύριος αὐτοῦ τὸ
all those of-the house and he the master his the
ἐν ποίᾳ ἀτιμίᾳ εἶχον αὐτὸν καὶ μάλιστα οἱ κράζοντες
in what dishonor they-held him and especially those calling
αὐτόν· ''Ὁ παραπαίων.''' ταῦτα τοῦ μακαριωτάτου καὶ
him the madman these(-are) of-the most-blessed and
θεοτιμήτου Ἰωάννου τοῦ πατριάρχου τὰ διηγήματα. Οὐ
God-honored John the patriarch the stories not
μόνον γὰρ ἐκ τοῦ ἑαυτοῦ βίου ἱκανὸς ἦν καὶ τὸν
only for from the his-own life able he-was also the(-one)
μὴ θέλοντα ὠφεληθῆναι οἰκοδομῆσαι, ἀλλὰ καὶ ἐκ τῶν
not wishing to-be-benefited to-edify but also from the
θεαρέστων αὐτοῦ καὶ ἀψευδῶν διηγημάτων. καὶ ἔλεγεν
God-pleasing his and unlying stories and he-said
ἀεὶ τοῖς ταῦτα ἀκούουσιν· "εἰ τοῦ ἰδίου αἵματος οὐκ
always to-those these(-things) hearing if of-the own blood not
ἐφείσαντό τινες τῶν ἀνθρώπων, ἀλλὰ καὶ αὐτὸ ἔδωκαν
spared some of-the men but also it gave
εἰς χεῖρας τῶν ἀδελφῶν, μᾶλλον δὲ τοῦ Χριστοῦ, πῶς
into (the)-hands of-the brothers rather but — of-Christ how
ἄρα ἡμεῖς μετὰ προθυμίας καὶ ταπεινώσεως ὀφείλομεν
then we with eagerness and humility ought

κἂν ἐκ τῶν ὑπαρχόντων ἡμῖν διδόναι τῷ Χριστῷ, ἤγουν
at-least from the possessions our to-give — to-Christ that-is
τοῖς πτωχοῖς καὶ πένησιν, ἵνα τὴν ἀντιμισθίαν λάβωμεν
to-the poor and needy that the recompense we-may-receive
παρὰ τοῦ δικαίου μισθαποδότου θεοῦ ἐν ἐκείνῃ τῇ φοβερᾷ
from the just rewarder God in that the fearful
καὶ φρικτῇ τῆς ἀνταποδόσεως ἡμέρᾳ, ὥστε οὖν ὁ
and awful of-the retribution day so-that then the(-one)
σπείρων φειδομένως, φειδομένως καὶ θερίσει καὶ ὁ
sowing sparingly sparingly also will-reap and the(-one)
σπείρας ἐν εὐλογίαις, τουτέστιν δαψιλῶς καὶ μεγαλοψύχως,
having-sown in blessings that-is abundantly and magnanimously
πολυπλειόνως καὶ θερίσει, τουτέστιν τὰ ἀγαθὰ ἐκεῖνα
much-more also will-reap that-is the good(-things) those
κληρονομήσει τὰ πᾶσαν διάνοιαν ὑπερβαίνοντα."
will-inherit the(-things) all understanding surpassing

XXIII–XXIV · SERAPION AND THE MONK

John weeps over the life of Serapion Sindonius, who gave away his clothes and his gospel and sold himself to pagan actors whom he converted. Believing a report that a monk goes about with a woman, John has him flogged. The monk shows him his wounds in a dream; brought before John, he proves to be a eunuch, and the girl a Jewess he had baptized and was taking to a convent. John begs his pardon, honors all monks from then on, and builds them a hostel.

23 Πᾶσιν μὲν οὖν τοῖς κατορθώμασιν κεκοσμημένος ὑπάρχων
with-all indeed then the achievements adorned being
ὁ ὅσιος, οὐδὲ τούτου ἀπελείπετο. πάνυ γὰρ ἠγάπα τὸ
the holy(-man) not-even of-this fell-short greatly for he-loved the
ἐντυγχάνειν τοῖς βίοις τῶν ἁγίων πατέρων, καὶ μάλιστα
to-read the lives of-the holy fathers and especially

τῶν τὴν ἐλεημοσύνην ἀσκησάντων. ὅθεν ἐν μιᾷ ἐντυχὼν
of-those the almsgiving having-practiced whence on one(-day) having-read
τῷ βίῳ τοῦ ἁγίου Σεραπίωνος τοῦ ἐπικληθέντος Σινδονίου
the life of-the holy Serapion the(-one) surnamed Sindonius
καὶ εὑρὼν "αὐτὸν ἐν μιᾷ", φησὶν, "τὸ περιβόλαιον
and having-found him on one(-day) he-says the cloak
αὐτοῦ δεδωκότα τῷ πτωχῷ καὶ πάλιν παρεκεῖ ἀπελθόντα
his having-given to-the poor-man and again nearby having-gone-off
καὶ τῷ ῥιγῶντι συναντήσαντι κἀκείνῳ τὸ στιχάριον
also to-the(-one) shivering having-met to-that-one-too the tunic
αὐτοῦ παρασχόντα, καὶ ὅτι γυμνὸς ἐκαθέζετο κρατῶν
his having-supplied and that naked he-sat holding
τὸ ἅγιον εὐαγγέλιον, καὶ ἐρωτηθεὶς ὑπό τινος· 'Τίς σε
the holy gospel and having-been-asked by someone who you
ἀπέδυσεν, ἀββᾶ;' ὑποδείξας τὸ εὐαγγέλιον, φησίν· 'Οὗτος.'"
stripped abba having-pointed-to the gospel he-says this
καὶ "ἄλλοτε αὐτὸ τὸ ἅγιον εὐαγγέλιον πωλήσαντα καὶ
and at-another-time very the holy gospel having-sold and
δεδωκότα ἐλεημοσύνην, καὶ τοῦ μαθητοῦ αὐτοῦ εἰρηκότος
having-given (as)-alms and the disciple his having-said
πρὸς αὐτόν· 'Ἀββᾶ, τὸ εὐαγγέλιον ποῦ ἐστιν;' κἀκείνου
to him abba the gospel where is(-it) and-he
εἰπόντος πρὸς αὐτὸν, ὅτι 'Πίστευσον, τέκνον, αὐτὸ τὸ
having-said to him that believe child very the(-one)
λέγον μοι· Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς,
saying to-me sell your the possessions and give to-poor(-men)
αὐτὸ ἐπώλησα καὶ ἔδωκα αὐτοῖς, ἵνα ἐν ἡμέρᾳ κρίσεως
it I-sold and gave to-them that on (the)-day of-judgment
ἔχωμεν περισσοτέραν παρρησίαν πρὸς θεόν.'" καὶ ὅτι
we-may-have more freedom-of-speech toward God and that
"ἄλλοτε πάλιν χήρα γυνὴ αἰτήσασα τὸν αὐτὸν ἅγιον
at-another-time again (a)-widow woman having-asked the same holy

Σεραπίωνα ἐλεημοσύνην, ὅτι ἐπείνων τὰ τέκνα αὐτῆς,
Serapion (for)-alms because were-hungry the children her
καὶ μὴ ἔχοντος αὐτοῦ τίποτε τὸ σύνολον δοῦναι αὐτῇ,
and not having he anything the at-all to-give her
ἐποίησεν αὐτὴν πωλῆσαι αὐτὸν εἰς μίμους Ἕλληνας
he-made her to-sell him to mimes pagans
ὑπάρχοντας, οὓς καὶ χριστιανοὺς ἐποίησεν ἐν ὀλίγαις
being whom also Christians he-made in few
ἡμέραις." ταῦτα ἀναγνοὺς ὁ ὅσιος περὶ τούτου τοῦ
days these(-things) having-read the holy(-man) about this the
ἁγίου Σεραπίωνος ἐκπληττόμενος καὶ θαυμάζων τὴν τοῦ
holy Serapion being-astonished and marveling-at the of-the
ἁγίου ἀρετὴν, ὅλος σύνδακρυς γενόμενος, προσκαλεσάμενος
saint virtue wholly in-tears having-become having-summoned
ἅπαντας τοὺς ἰδίους διοικητὰς, ἀνέγνω καὶ αὐτοῖς πάντα
all the own administrators read also to-them all
τὰ κατὰ τὸν ἅγιον Σεραπίωνα καὶ λέγει πρὸς
the(-things) about the holy Serapion and says to
αὐτούς· "Βαβαὶ, ὦ φιλόχριστοι, τί ὠφελεῖται ἄνθρωπος
them oh O Christ-lovers what is-benefited (a)-man
ἐντυγχάνων τοῖς βίοις τῶν ἁγίων πατέρων. πιστεύσατέ
reading the lives of-the holy fathers believe
μοι ὅτι μέχρι τῆς σήμερον ἐνόμιζον, ὅτι κἂν τίποτε
me that until the today I-thought that at-least something
ποιῶ, δίδων τὰ ἐμπίπτοντά μοι χρήματα. οὐκ ᾔδειν δὲ ὅτι
I-do giving the falling-to me moneys not I-knew but that
καὶ ἑαυτοὺς ἐπίπρασκόν τινες, συμπαθείᾳ νικηθέντες."
even themselves sold some by-compassion having-been-conquered
24 Ὑπερετίμα μὲν ἀεὶ τὸ μοναχικὸν σχῆμα ὁ ἅγιος καὶ
highly-honored indeed always the monastic habit the saint and
ἐσέβετο καὶ συνέπασχεν, ὅπου μάλιστα ἔβλεπεν μοναχὸν
revered(-it) and sympathized where especially he-saw (a)-monk

εἰς τὰς σωματικὰς χρείας στενούμενον. εἶχεν δὲ καὶ τοῦτο
in the bodily needs straitened he-had and also this
ὑπὲρ πολλοὺς ἐξαίρετον, ὅτι κατηγορίαν τὴν οἱανοῦν ἢ
beyond many outstanding that accusation the whatever either
ψευδῆ ἢ ἀληθῆ οὐκ ἐδέχετο κατά τινος περιβεβλημένου τὸ
false or true not he-received against anyone clothed-in the
μοναχικὸν σχῆμα. ἅπαξ γὰρ συνέβη αὐτὸν ἐξ ὑποβολῆς
monastic habit once for it-happened him from suggestion
τινων διαβόλων παθεῖν τι τοιοῦτον. τινὸς μοναχοῦ
of-some devils to-suffer something such a-certain monk
γυρεύοντος ἐν τῇ πόλει μετὰ μιᾶς κόρης νεωτέρας, καὶ
going-round in the city with one girl young and
ἐπαιτοῦντος ἐλεημοσύνην ἐπὶ ἡμέρας τινὰς, τινὲς τῶν
begging alms for days some some of-those
τούτους θεωρησάντων σκανδαλισθέντες καὶ νομίσαντες ὅτι
these having-seen having-been-scandalized and having-thought that
γυνὴ αὐτοῦ ἐστιν, προσανήνεγκαν τῷ πάπᾳ κατ᾽ αὐτοῦ
(the)-wife his she-is reported to-the pope against him
ἐγκλήσεις, "διότι", φησὶν, "θεοτίμητε, κωμῳδεῖ τὸ
charges because says God-honored(-one) he-makes-a-mockery-of the
ἰσάγγελον τοῦ μοναχικοῦ βίου σχῆμα, κόρην τινὰ ἔχων
angel-like of-the monastic life habit girl a-certain having
εἰς γυναῖκα"; εὐθέως οὖν ὁ τοῦ θεοῦ θεράπων ὡς νομίζων
as wife at-once then the — of-God servant as thinking
κωλύειν τὰ πρὸς θεὸν ἁμαρτήματα, ὡς εἰς τοῦτο ὑπ᾽ αὐτοῦ
to-prevent the against God sins as for this by him
προχειρισθεὶς, ἐπέτρεψεν τὴν μὲν γυναῖκα πτερνισθῆναι
appointed directed the indeed woman to-be-kicked-away
ἐξ αὐτοῦ καὶ χωρισθῆναι, αὐτὸν δὲ τυπτηθῆναι καὶ εἰς
from him and to-be-separated him and to-be-beaten and in
φυλακὴν ἰδιάζουσαν ἀποκλεισθῆναι. ὡς οὖν διὰ πάσης
(a)-prison solitary to-be-shut-up when then with all

συντομίας ἡ κέλευσις τοῦ ὁσίου εἰς ἔργον προήχθη,
speed the order of-the holy(-man) into deed was-brought
φαίνεται αὐτῷ τῇ νυκτὶ κατὰ τοὺς ὕπνους ὁ μοναχὸς,
appears to-him in-the night in the sleep the monk
δεικνύων αὐτῷ τὸν νῶτον αὐτοῦ ὅλον σεσημμένον —
showing him the back his whole festering
ὑπῆρχον γὰρ ἀφειδῶς δήραντες αὐτὸν οἱ ἐκκλησιέκδικοι —
had for unsparingly having-flayed him the church-advocates
λέγων αὐτῷ· "Οὕτως ἀρέσκει σοι, κῦρι ὁ πάπας,
of-him about from (mile)-markers seven were and about five-thousand
Καὶ ἦν ἰδεῖν αὐτοὺς ἐπὶ τῆς ἄμμου ἡπλωμένους ἐπὶ
and it-was to-see them on the sand spread-out on
κοιλίαν ὡς ἐν τάξει ἀγγέλων μετὰ φόβου δεχομένων τὸν
belly as in (the)-rank of-angels with fear receiving —
Χριστόν· οἱ μὲν γὰρ τὰ ἱμάτια αὐτῶν ἐστρώννυον
Christ the(-ones) indeed for the garments their were-spreading
ἔμπροσθεν αὐτοῦ, ἄλλοι δὲ τὰ κουκούλλια αὐτῶν, καὶ
before him others and the cowls their and
ἦν ἰδεῖν τὰ ἐκχυνόμενα δάκρυα ὡς πηγὰς βρυούσας· καὶ
it-was to-see the pouring tears like springs gushing and
ἐξελθὼν ὁ ἀρχιμανδρίτης προσεκύνησεν ἑπτάκις πρὸ
having-come-out the archimandrite prostrated-himself seven-times before

τοῦ ἐλθεῖν αὐτὸν πρὸς τὸν γέροντα· καὶ ἀσπασάμενοι
the to-come he to the old-man and having-greeted
ἀλλήλους ἐκάθισαν. Τότε παρεκάλεσεν αὐτὸν ἀκοῦσαι
one-another they-sat then he-besought him to-hear
λόγον παρ' αὐτοῦ· οὐ ταχέως γὰρ ἐλάλει τινί. Ὡς οὖν
(a)-word from him not quickly for he-spoke to-anyone when then
ἐκάθισαν ἔξω τοῦ κοινοβίου ἐπὶ τῆς ἄμμου διὰ τοῦ μὴ
they-sat outside the community on the sand because-of the not
χωρεῖν αὐτοὺς τὴν ἐκκλησίαν, λέγει ὁ ἀββᾶς Δανιὴλ τῷ
to-hold them the church says — abba Daniel to-the
μαθητῇ αὐτοῦ· Γράψον· εἰ θέλετε σωθῆναι, διώξατε τὴν
disciple his write if you-wish to-be-saved pursue the
ἀκτημοσύνην καὶ τὴν σιωπήν· εἰς γὰρ τὰς δύο ἀρετὰς
poverty and the silence on for the two virtues
ταύτας ὅλος ὁ βίος τοῦ μοναχοῦ κρέμαται. Καὶ ὁ
these whole the life of-the monk hangs and the
μαθητὴς αὐτοῦ ἔδωκεν τινὶ τῶν ἀδελφῶν τὰ γράμματα,
disciple his gave to-someone of-the brothers the writing
καὶ μεθηρμήνευσεν αὐτὰ αἰγυπτιστί. Καὶ ὡς ἀνεγνώσθησαν
and he-translated it in-Egyptian and as it-was-read
τοῖς πατράσιν, ἔκλαυσαν πάντες καὶ προέπεμπον τὸν
to-the fathers wept all and were-escorting the
γέροντα· οὐδεὶς γὰρ ἐτόλμα εἰπεῖν αὐτῷ· ποίησον ἀγάπην.
old-man no-one for dared to-say to-him do (a)-love-feast
Καὶ ἐλθὼν εἰς Ἑρμόπολιν λέγει τῷ μαθητῇ αὐτοῦ·
and having-come to Hermopolis he-says to-the disciple his
Ὕπαγε κροῦσον εἰς τὸ μοναστήριον ἐκεῖνο τῶν γυναικῶν.
go knock at the monastery that of-the women
Ἦν γὰρ ἐκεῖ μοναστήριον γυναικῶν λεγόμενον τοῦ ἀββᾶ
was for there (a)-monastery of-women called — of-abba
Ἰερεμίου, καὶ οἰκοῦσιν ἐκεῖ ὡσεὶ τριακόσιαι μοναχαί. Καὶ
Jeremiah and dwell there about three-hundred nuns and

ἀπῆλθεν ὁ μαθητὴς αὐτοῦ καὶ ἔκρουσεν. Καὶ λέγει αὐτῷ
went-away the disciple his and knocked and says to-him
ἡ θυρωρὸς λεπτῇ φωνῇ· Σωθεὶς καλῶς ἦλθες·
the portress with-thin voice having-been-saved well you-have-come
τί κελεύεις; Λέγει αὐτῇ· Φώνει μοι τὴν ἀμμᾶν τὴν
what do-you-bid says to-her call for-me the amma the
ἀρχιμανδρίτην· θέλω γὰρ αὐτῇ λαλῆσαι. Ἡ δὲ εἶπεν· Οὐ
archimandrite I-wish for to-her to-speak she and said not
συντυγχάνει τινί ποτε, ἀλλ' εἰπέ μοι τί κελεύεις καὶ
she-meets anyone ever but tell me what you-bid and
λέγω αὐτῇ. Ὁ δὲ εἶπεν· Εἰπὲ αὐτῇ· Μοναχός τις θέλει
I-tell her he and said tell her monk a-certain wishes
σοι λαλῆσαι. Ἡ δὲ ἀπελθοῦσα εἶπεν αὐτῇ. Καὶ ἐλθοῦσα
to-you to-speak she and having-gone-away told her and having-come
ἡ ἡγουμένη λεπτῇ φωνῇ λέγει τῷ ἀδελφῷ· Ἡ ἀμμᾶς
the abbess with-thin voice says to-the brother the amma
ἔπεμψέν με λέγουσα· Τί κελεύεις; Λέγει ὁ ἀδελφός· Ἵνα
sent me saying what do-you-bid says the brother that
ποιήσητε ἀγάπην καὶ κοιμηθῶμεν ὧδε ἐγώ τε καὶ εἷς
you-do (a)-charity and we-sleep here I both and one
γέρων, ὅτι ἑσπέρα ἐστὶν, μήποτε φάγωσιν ἡμᾶς τὰ θηρία.
old-man for evening it-is lest eat us the beasts
Λέγει αὐτῷ ἡ ἀμμᾶς· Οὐδέποτε ἀνὴρ εἰσέρχεται ὧδε·
says to-him the amma never (a)-man enters here
συμφέρει γὰρ ὑμῖν ὑπὸ θηρίων βρωθῆναι τῶν ἔξω καὶ μὴ
it-is-better for for-you by beasts to-be-eaten those outside and not
τῶν ἔσω. Λέγει ὁ ἀδελφός· Ὁ ἀββᾶς Δανιὴλ ἐστὶν ὁ
those inside says the brother — abba Daniel is the(-one)
τῆς Σκήτεως. Ἡ δὲ ἀκούσασα ἤνοιξεν τοὺς δύο πυλῶνας
— of-Scetis she and having-heard opened the two gates
καὶ ἐξῆλθεν τρέχουσα, ὁμοίως δὲ καὶ πᾶσα ἡ συνοδία,
and came-out running likewise and also all the community

καὶ τὰ μαφόρια αὐτῶν ἔστρωσαν ἀπὸ τοῦ πυλῶνος ἕως
and the veils their they-spread from the gate as-far-as
κάτω ὅπου ἦν ὁ γέρων, κυλιώμεναι εἰς τοὺς πόδας
down where was the old-man rolling at the feet
αὐτοῦ, καὶ λείχουσαι τὰ πέλματα αὐτοῦ. Καὶ εἰσελθόντων
his and licking the soles his and having-entered
ἡμῶν ἔσω εἰς τὸ μοναστήριον, ἤνεγκεν ἡ κυρία ἡ μεγάλη
we inside into the monastery brought the lady the great
λεκάνην καὶ ἐγέμιζεν αὐτὴν χλιαροῦ καὶ βοτανῶν
(a)-basin and was-filling it with-warm(-water) and herbs
καὶ ἔστησεν δύο χοροὺς τὰς ἀδελφὰς, καὶ ἔνιψον τοὺς
and set-up (in)-two choirs the sisters and they-washed the
πόδας τοῦ γέροντος καὶ τοῦ μαθητοῦ αὐτοῦ, καὶ λαβοῦσα
feet of-the old-man and of-the disciple his and having-taken
καυκίον, καὶ ἔφερεν τὰς ἀδελφὰς, καὶ ἐλάμβανεν ἐκ
(a)-cup and she-was-bringing the sisters and was-taking from
τῆς λεκάνης, καὶ ἐπέχεεν εἰς τὰς κεφαλὰς αὐτῶν·
the basin and was-pouring(-it) on the heads their
ὕστερον δὲ ἐξέχεεν εἰς τὸν κόλπον αὐτῆς καὶ εἰς
later and she-poured(-it) into the bosom her and on
τὴν κεφαλήν. Ἦν δὲ ἰδεῖν αὐτὰς πάσας ὡς ἐπὶ λίθων
the head was and to-see them all as upon stones
ἀκινήτων ἀλάλους· διὰ κρούσματος δὲ πᾶσα ἡ ἀπόκρισις
unmoving speechless by knocking and all the answer
αὐτῶν ἐγένετο· αὕτη ἡ κίνησις αὐτῶν ἀγγελική· Λέγει
their came-about this the movement their angelic says
οὖν ὁ γέρων τῇ ἡγουμένῃ· Ἡμᾶς εὐλαβοῦνται ἢ οὕτως
then the old-man to-the abbess us do-they-revere or thus
εἰσὶν πάντοτε αἱ ἀδελφαί; Ἡ δὲ εἶπεν· Πάντοτε οὕτως
are always the sisters she and said always thus
εἰσὶν αἱ δοῦλαί σου, δέσποτα· ἀλλ' εὖξαι ὑπὲρ αὐτῶν.
are the handmaids your master but pray for them

Λέγει ὁ γέρων· Εἰπὲ τῷ μαθητῇ μου ὅτι ὡς γότθος
says the old-man tell to-the disciple my that as (a)-Goth
μοι ἐπέρχεται. Μία δὲ ἐξ αὐτῶν ἔκειτο εἰς τὸ μεσίαυλον
to-me it-comes-over one and of them was-lying in the middle-court
κοιμωμένη περιεσχισμένα ῥάκια φοροῦσα. Λέγει ὁ γέρων·
sleeping torn rags wearing says the old-man
Τίς ἐστιν αὕτη κοιμωμένη; Λέγει αὐτῷ μία τῶν ἀδελφῶν·
who is she sleeping says to-him one of-the sisters
Μεθύστρια ἔστιν, καὶ τί ποιῆσαι αὐτῇ οὐκ οἴδαμεν, καὶ
(a)-drunkard she-is and what to-do with-her not we-know and
ἐκβάλαι αὐτὴν τοῦ μοναστηρίου φοβούμεθα τὸ κρῖμα, καὶ
to-cast-out her from-the monastery we-fear the judgment and
ἐὰν αὐτὴν ἐάσωμεν ἐκβολίζει τὰς ἀδελφάς. Λέγει ὁ γέρων
if her we-let-be she-unsettles the sisters says the old-man
τῷ μαθητῇ αὐτοῦ· Λάβε τὴν λεκάνην καὶ βάλε ἐπάνω
to-the disciple his take the basin and throw(-it) over
αὐτῆς. Τοῦ δὲ ποιήσαντος οὕτως ἀνηύτει ὡς ἀπὸ
her he and having-done thus she-was-coming-to as from
μέθης. Λέγει οὖν ἡ ἀμμᾶς· Δέσποτα, οὕτως ἔστιν πάντοτε.
drunkenness says then the amma master thus she-is always
Καὶ λαβοῦσα ἡ ἡγουμένη τὸν γέροντα εἰσήνεγκεν αὐτὸν εἰς
and having-taken the abbess the old-man brought him into
τὸ ἀριστήριον καὶ ἐποίησεν δεῖπνον ταῖς ἀδελφαῖς λέγουσα·
the refectory and made supper for-the sisters saying
Εὐλόγησον τὰς δούλας σου ἵνα ἔμπροσθέν σου γεύσωνται.
bless the handmaids your that before you they-may-taste
Ὁ δὲ εὐλόγησεν αὐτάς. Αὕτη δὲ καὶ ἡ δευτεραρία μόναι
he and blessed them she and also the second(-in-charge) alone
ἐκάθισαν μετ᾽ αὐτοῦ. Καὶ παρέθηκεν καυκίον τῷ γέροντι
sat with him and set-before(-him) (a)-cup for-the old-man
ἔχον τινὰ βρεκτὰ καὶ ὠμὰ λάχανα καὶ φοινίκια καὶ
having some soaked(-beans) and raw vegetables and dates and

ὕδωρ· τῷ δὲ μαθητῇ αὐτοῦ παρέθηκεν φακὴν ἐκζεστὴν καὶ
water to-the and disciple his she-set-before lentil boiled and
μικρὸν ψωμὶν καὶ εὔκρατον· ταῖς δὲ ἀδελφαῖς παρετέθησαν
(a)-little morsel and mixed(-wine) to-the and sisters were-set-before
φαγία πολλά· ἰχθύες καὶ οἶνος εἰς πλησμονήν· καὶ ἔφαγον
dishes many fish and wine to fullness and they-ate
πάνυ καλῶς καὶ οὐδεὶς ἐλάλησεν. Μετὰ δὲ τὸ ἀναστῆναι
very well and no-one spoke after and the to-rise
αὐτοὺς λέγει ὁ γέρων τῇ ἡγουμένῃ· Τί ἔστιν ὃ
they says the old-man to-the abbess what is(-it) which
ἐποίησας; Ἡμεῖς ὠφείλαμεν φαγεῖν καλῶς, καὶ ὑμεῖς τὰ
you-did we ought to-have-eaten well and you the
καλὰ ἐφάγετε; Λέγει αὐτῷ ἡ ἀμμᾶς· Σὺ μοναχὸς εἶ, καὶ
good(-things) ate says to-him the amma you (a)-monk are and
τροφὴν μοναχοῦ παρέθηκά σοι, καὶ ὁ μαθητής σου μαθητὴς
food of-(a)-monk I-set-before you and the disciple your (a)-disciple
μοναχοῦ ἐστὶν, καὶ τροφὴν μαθητοῦ παρέθηκα αὐτῷ· ἡμεῖς
of-(a)-monk is and food of-(a)-disciple I-set-before him we
δὲ ἀρχαρίαι ἐσμὲν, καὶ τροφὴν ἀρχαρίων ἐφάγομεν. Λέγει
and beginners are and food of-beginners we-ate says
αὐτῇ ὁ γέρων· Μνησθῇ ἡ ἀγάπη ὄντως ὠφελήθημεν.
to-her the old-man may-be-remembered the charity truly we-have-been-profited
Ἀπερχομένων δὲ αὐτῶν ἀναπαύει καὶ λέγει ὁ ἀββᾶς
going-away and they he-rests and says — abba
Δανιὴλ τῷ μαθητῇ αὐτοῦ· Ὕπαγε βλέπε ποῦ κοιμᾶται
Daniel to-the disciple his go see where sleeps
ἡ μεθύστρια ὅπου εἰς τὸ μεσίαυλον ἔκειτο. Καὶ
the drunkard where in the middle-court she-was-lying and
ἀπέρχεται καὶ βλέπει, καὶ λέγει αὐτῷ· Κατὰ τὴν ἔμβασιν
he-goes-away and sees and says to-him by the entrance
τῶν σωτηρίων. Καὶ λέγει ὁ γέρων τῷ μαθητῇ αὐτοῦ·
of-the privies and says the old-man to-the disciple his

Γρηγόρησον μετ᾽ ἐμοῦ τῇ νυκτὶ ταύτῃ. Καὶ ὅτε ἀνεπαύησαν
keep-watch with me the night this and when rested
πᾶσαι αἱ ἀδελφαὶ, λαμβάνει ὁ γέρων τὸν μαθητὴν αὐτοῦ,
all the sisters takes the old-man the disciple his
καὶ κατέρχεται ὀπίσω τοῦ σιφαρίου, καὶ θεωροῦσιν τὴν
and goes-down behind the screen and they-watch the
μεθύστριαν ὅτι ἀνέστη καὶ ἐπέτασεν τὰς χεῖρας αὐτῆς εἰς
drunkard that she-rose and stretched-out the hands her to
τὸν οὐρανόν, καὶ τὰ δάκρυα αὐτῆς ὡς ποταμὸς, καὶ τὰ
the heaven and the tears her like (a)-river and the
χείλη αὐτῆς κινούμενα, καὶ τὰς μετανοίας ἀναπέμπουσα
lips her moving and the penitences sending-up
καὶ καταπίπτουσα εἰς τὸ ἔδαφος, καὶ ὅτε ἠσθάνετο μίαν
and falling-down to the ground and when she-perceived one
τῶν ἀδελφῶν ἀπερχομένην εἰς τὰ ἀναγκαῖα ἐῤῥίπτεν
of-the sisters going-away to the necessaries she-threw
ἑαυτὴν χαμαὶ ῥέγχουσα. Οὕτως διετέλει πάσας τὰς
herself on-the-ground snoring thus she-continued all the
ἡμέρας αὐτῆς. Λέγει οὖν ὁ γέρων τῷ μαθητῇ αὐτοῦ·
days her says then the old-man to-the disciple his
Φώνησόν μοι τὴν ἡγουμένην εὐφυῶς. Καὶ ἀπελθὼν
call for-me the abbess quietly and having-gone-away
ἐφώνησεν αὐτὴν καὶ τὴν δευτεραρίαν· καὶ ὅλην τὴν νύκτα
he-called her and the second(-in-charge) and whole the night
ἔβλεπον ἃ ἐποίει. Ἡ δὲ ἡγουμένη ἤρξατο κλαίειν
they-watched what(-things) she-was-doing the and abbess began to-weep
λέγουσα· Ὢ πόσα κακὰ ἐνεδειξάμην αὐτῇ! Καὶ ὅτε
saying oh how-many evils I-showed to-her and when
ἔκρουσεν τὸ κροῦσμα θρῦλος ἐγένετο περὶ αὐτῆς εἰς τὴν
struck the sounding-board (a)-rumor arose about her in the
ἀδελφότητα καὶ ἠσθάνετο καὶ ἀπέρχεται ἀφανῶς ὅπου ἦν
sisterhood and she-perceived(-it) and goes-away unseen where was

κοιμώμενος ὁ γέρων καὶ κλέπτει τὴν ῥάβδον αὐτοῦ καὶ τὸ
sleeping the old-man and steals the staff his and the
ἐπιῤῥιπταρίον καὶ ἀνοίγει εὐφυῶς τὴν θύρα τοῦ μοναστηρίου
mantle and opens quietly the door of-the monastery
καὶ γράφει πιττάκιον καὶ βάλλει εἰς τὸ κλείδωμα τῆς
and writes (a)-note and puts(-it) in the lock of-the
θύρας λέγουσα· Εὔξασθε ὑπὲρ ἐμοῦ καὶ συγχωρήσατέ μοι
door saying pray for me and forgive me
ὅσα ἔπταισα ὑμῖν καὶ ἀφανὴς ἐγένετο.
what(-things) I-offended you and invisible she-became
Καὶ ὅτε ἡμέρα ἐγένετο ἐζήτησαν αὐτὴν καὶ οὐχ εὗρον.
and when day came they-sought her and not found(-her)
Καὶ ἀπέρχονται εἰς τὸν πυλῶνα, καὶ εὑρίσκουσιν
and they-go-away to the gate and they-find
ἀνεῳγμένην τὴν θύραν καὶ τὸ πιττάκιον γεγραμμένον
opened the door and the note written
καὶ γίνεται κλαυθμὸς μέγας ἐν τῷ μοναστηρίῳ. Καὶ
and arises (a)-weeping great in the monastery and
λέγει ὁ γέρων· Ἐγὼ διὰ ταύτην ἦλθον ὧδε· τοιούτους
says the old-man I because-of her came here such
γὰρ μεθυστὰς ἀγαπᾷ ὁ Θεός. Καὶ πᾶσα ἡ συνοδία
for drunkards loves — God and all the community
ἐξωμολογεῖτο τῷ γέροντι τὸ τί ἔπραξαν εἰς αὐτήν. Καὶ
confessed to-the old-man the what they-had-done to her and
ποιήσας ὁ γέρων εὐχὴν ταῖς ἀδελφαῖς, ἀνεχώρησαν εἰς
having-made the old-man (a)-prayer for-the sisters they-withdrew to
τὸ κελλίον αὐτῶν, δοξάζοντες καὶ εὐχαριστοῦντες τῷ Θεῷ
the cell their glorifying and giving-thanks — to-God
τῷ γινώσκοντι μόνῳ πόσους κρυπτοὺς ἔχει δούλους.
the(-one) knowing alone how-many hidden he-has servants

Captured by barbarians a third time, Daniel strikes his captor with a stone and kills him. Repentant, he confesses to the patriarchs of Alexandria, Rome, Constantinople, Ephesus, Jerusalem, and Antioch, and each says he killed a beast, not a man. He then gives himself up to the governor's jailers; after thirty days the governor hears him, marvels at his discernment, and releases him. Daniel vows instead to serve a leper all his life; his disciple once sees him tending the man's wounds and feeding him with his own hands, and glorifies God.

Τοῦ αὐτοῦ ἀββᾶ Δανιήλ. 8

of-the same abba Daniel

Ὁ αὐτὸς ἀββᾶς Δανιὴλ ἐκ παιδόθεν ἀπετάξατο ἐν τῇ

the same abba Daniel from childhood renounced(-the-world) in —

Σκήτῃ καὶ ἐπέῤῥιψαν οἱ βάρβαροι καὶ αἰχμαλώτευσαν αὐτὸν,

Scetis and raided the barbarians and took-captive him

καὶ διέτριψεν μετ᾽ αὐτῶν διετίαν. Καί τις φιλόχριστος

and he-spent with them two-years and a-certain Christ-loving

ἀνὴρ ναύκληρος ἐῤῥύσατο αὐτὸν ἐκ τῶν βαρβάρων. Καὶ

man (a)-shipmaster rescued him from the barbarians and

πάλιν μετ᾽ ὀλίγον χρόνον ἀπῆλθον οἱ βάρβαροι καὶ ἔλαβον

again after little time went-off the barbarians and took

αὐτόν. Καὶ διέτριψεν μετ᾽ αὐτῶν μῆνας ἓξ, καὶ ἔφυγεν ἐξ

him and he-spent with them months six and fled from

αὐτῶν. Καὶ πάλιν ἐκ τρίτου ἐπέῤῥιψαν καὶ ἔλαβον

them and again for (the)-third(-time) they-raided and took

αὐτόν. Καί τις ἀνὴρ ἐκ τῶν αἰχμαλωτευσάντων αὐτὸν

him and a-certain man of those having-taken-captive him

καθίσας πρὸς ὕδωρ· καὶ λαβὼν ὁ γέρων λίθον ἔδωκεν

having-sat by water and having-taken the old-man (a)-stone gave(-a-blow)

τῷ ἀλλοφύλῳ, καὶ ἔτυχεν αὐτὸν ἀποθανεῖν ἐκ τοῦ λίθου.

to-the foreigner and it-happened him to-die from the stone

Καὶ μετὰ τὸ φυγεῖν τὸν αὐτὸν Δανιὴλ μεταμεληθεὶς
and after the to-flee the same Daniel having-repented
ὁ γέρων ἐπὶ τῷ πράγματι τοῦ φόνου ὃν ἐποίησεν
the old-man over the matter of-the murder which he-did
ἐμβαίνει ἐν Ἀλεξανδρείᾳ καὶ ἀνατίθεται Τιμοθέῳ τῷ
embarks for Alexandria and confides(-it) to-Timothy the
ἀρχιεπισκόπῳ, καὶ γνοὺς ὁ ἀρχιεπίσκοπος τὸ πρᾶγμα
archbishop and having-learned the archbishop the matter
κατέγνω αὐτοῦ λέγων· Ὅτι ὁ λυτρωσάμενός σε Θεὸς ἐκ
condemned him saying that the having-ransomed you God for
δευτέρου ἐξ αὐτῶν καὶ τὸ τρίτον πάλιν ἐδύνατό σε
(a)-second(-time) from them also the third(-time) again was-able you
λυτρώσασθαι, ἀλλ᾽ ὅμως φόνον οὐκ ἐποίησας, θηρίον
to-ransom but nevertheless murder not you-did (a)-beast
γὰρ ἀπέκτεινας. Πλεύσας οὖν ἐν Ῥώμῃ ὁ αὐτὸς Δανιὴλ
for you-killed having-sailed then to Rome the same Daniel
ἀνέθετο πάλιν τὰ περὶ τοῦ πράγματος τῷ πάπᾳ
confided again the(-things) concerning the matter to-the pope
Ῥώμης, καὶ τὸν αὐτὸν λόγον εἶπεν αὐτῷ ὃν ἤκουσεν
of-Rome and the same word he-said to-him which he-heard
παρὰ τοῦ πάπα Ἀλεξανδρείας. Ἀπελθόντος δὲ αὐτοῦ ἐν
from the pope of-Alexandria having-gone-away and he to
Κωνσταντινουπόλει καὶ ἐν Ἐφέσῳ καὶ ἐν Ἱεροσολύμοις
Constantinople and to Ephesus and to Jerusalem
καὶ ἐν Ἀντιοχείᾳ ἀνέθετο τὰ περὶ τοῦ φόνου, καὶ
and to Antioch he-confided the(-things) concerning the murder and
τὸν αὐτὸν λόγον παρὰ πάντων τῶν πατριαρχῶν ἤκουσεν.
the same word from all the patriarchs he-heard
Πάλιν δὲ ὑποστρέψας ἐν Ἀλεξανδρείᾳ λέγει ἐν ἑαυτῷ·
again and having-returned to Alexandria he-says in himself
Δανιὴλ, Δανιὴλ, ὁ φονεύων φονεύεται· καὶ ἀπελθὼν
Daniel Daniel the(-one) murdering is-murdered and having-gone-away

εἰς τὸ πραιτώριον παρέδωκεν ἑαυτὸν τοῖς κομενταρισίοις
to the praetorium he-handed-over himself to-the jailers
λέγων αὐτοῖς· Ἐπειδὴ μάχην ἐποίησα μετά τινος καὶ
saying to-them since (a)-fight I-made with someone and
κατακυριευθεὶς ὑπὸ τοῦ πονηροῦ ἔδωκα αὐτῷ μετὰ
having-been-mastered by the evil(-one) I-gave(-a-blow) him with
λίθου καὶ ἀπέκτεινα αὐτόν· παρακαλῶ ὑμᾶς ἵνα παραδοθῶ
(a)-stone and killed him I-beseech you that I-be-handed-over
τῷ ἄρχοντι καὶ ἀποθάνω ἀντὶ τοῦ φόνου ὃν ἐποίησα,
to-the ruler and die for the murder which I-did
ἵνα κουφισθῶ ἐκ τῆς μελλούσης κολάσεως. Ἀκούσαντες
that I-be-relieved of the coming punishment having-heard
δὲ ταῦτα παρ᾽ αὐτοῦ οἱ κομενταρίσιοι ἔβαλον αὐτὸν εἰς
and these(-things) from him the jailers threw him into
φυλακὴν ἐπὶ τριάκοντα ἡμέρας καὶ ἀνέθεντο τῷ ἄρχοντι
prison for thirty days and confided to-the ruler
τὰ περὶ αὐτοῦ. Ὁ δὲ ἄρχων ἐξήνεγκεν αὐτὸν εἰς
the(-things) concerning him the and ruler brought-out him to
πρόοδον μετὰ τὰς τριάκοντα ἡμέρας, καὶ ἐξέταξεν αὐτὸν
(a)-hearing after the thirty days and examined him
πῶς διεπράξατο τὸν φόνον. Καὶ ἀνέθετο αὐτῷ πᾶσαν τὴν
how he-committed the murder and he-confided to-him all the
ἀλήθειαν. Ὁ δὲ ἄρχων θαυμάσας ἐπὶ τῇ διακρίσει τοῦ
truth the and ruler having-marveled at the discernment of-the
γέροντος ἀπέλυσεν αὐτὸν λέγων αὐτῷ· Ὕπαγε, εὖξαι ὑπὲρ
old-man released him saying to-him go pray for
ἐμοῦ, ἀββᾶ· εἴθε καὶ ἄλλους ἑπτὰ ἐφόνευσας ἐξ αὐτῶν!
me abba would-that also other seven you-had-murdered of them
Ὁ δὲ γέρων λέγει ἐν ἑαυτῷ· Ἐλπίδας ἔχω εἰς τὴν
the and old-man says in himself hopes I-have in the
φιλανθρωπίαν τοῦ Θεοῦ, ὅτι οὐκ ἔχει μοι τοῦ λοιποῦ
love-of-man — of-God that not it-has to-me for-the rest

λογίσασθαι ἡ ἀγαθότης αὐτοῦ περὶ τοῦ αὐτοῦ φόνου·
to-reckon the goodness his concerning the same murder
ἀπὸ δὲ τοῦ νῦν δεξιὰν δίδωμι τῷ Θεῷ ὥστε πάσας τὰς
from and the now (my)-right-hand I-give — to-God so-that all the
ἡμέρας τῆς ζωῆς μου ὑπηρετεῖν με ἕνα λελωβημένον ἀντὶ τοῦ
days of-the life my to-serve me one leper for the
φόνου ὃν ἔπραξα. Καὶ ἔλαβεν ὁ γέρων λελωβημένον ἕνα,
murder which I-committed and took the old-man (a)-leper one
καὶ εἶπεν ἐν ἑαυτῷ· ὅτι ἐὰν ἀποθάνῃ ὁ λελωβημένος οὗτος,
and said in himself that if dies the leper this
ἀνέρχομαι εἰς Αἴγυπτον καὶ λαμβάνω ἀντ' αὐτοῦ ἄλλον.
I-go-up to Egypt and take in-place-of him another
Πάντες οὖν οἱ Σκητιῶται ἔγνωσαν ὅτι λελωβημένον ἔχει ὁ
all then the Scetiotes knew that (a)-leper has the
γέρων, οὐδεὶς δὲ ἠδύνατο ἰδεῖν τὸ πρόσωπον αὐτοῦ ἐκτὸς
old-man no-one and was-able to-see the face his except
τοῦ γέροντος καὶ μόνου. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν κατ'
the old-man and alone on one then of-the days by
οἰκονομίαν Θεοῦ περὶ ὥραν ἕκτην ἔσεισεν ὁ γέρων κατὰ
dispensation of-God about (the)-hour sixth shook the old-man according-to
τὸ ἔθος τὸ κωδώνιον, καὶ ὡς εἶχεν ὁ μαθητὴς αὐτοῦ εἰς
the custom the little-bell and as was the disciple his in
τὴν κελλίαν αὐτοῦ ἐπορεύθη πρὸς τὸ διακονῆσαι αὐτὸν
the cell his he-went for the to-bring him
ἀπόκρισιν τῷ γέροντι, καὶ ἐπελάθετο ὁ γέρων ὅτι ἔσεισεν
(an)-answer to-the old-man and forgot the old-man that he-shook
τὸ κωδώνιον, καὶ ἔασεν κατ' ἐνέργειαν Θεοῦ τὴν θύραν
the little-bell and left by working of-God the door
ἀνεῳγμένην τῆς αὐλῆς τοῦ κελλίου αὐτοῦ, καὶ ἐκαθέζετο
open of-the court of-the cell his and was-sitting
εἰς τὸν ἥλιον ὁ γέρων περιοδεύων τὸν λελωβημένον. Ἦν
in the sun the old-man tending the leper was

δὲ ὁ λελωβημένος πάνυ ἠφανισμένος ἐκ τῶν πολλῶν
and the leper very wasted from the many
τραυμάτων. Καὶ ὁ μαθητὴς αὐτοῦ ὑποστρέψας ἀπὸ τῆς
wounds and the disciple his having-returned from the
διακονίας καὶ φθάσας τὴν θύραν τῆς αὐλῆς κατενόησεν
errand and having-reached the door of-the court observed
τὸν γέροντα πῶς περιώδευεν τὸν λελωβημένον. Καὶ ὡς
the old-man how he-was-tending the leper and when
περιώδευσεν αὐτὸν εἰσῆλθεν ὁ γέρων εἰς τὸ κελλίον
he-had-tended him went-in the old-man into the cell
ἑαυτοῦ καὶ εἰσήνεγκεν σεμίδαλιν καὶ ἐνεβρωμάτιζεν αὐτὸν
his-own and brought-in fine-flour and was-feeding him
δι᾽ αὐτοῦ διὰ τὸ μὴ ἔχειν χεῖρας τὸν λελωβημένον
through himself because-of the not to-have hands the leper
καὶ διὰ τὸ μὴ δύνασθαι αὐτὸν καταπίνειν τὸ βρῶμα
and because-of the not to-be-able him to-swallow the food
αὐτοῦ διὰ τὸ εἶναι αὐτὸν πάνυ σεσαθρωμένον. Ὁ δὲ
his because-of the to-be him very rotted the and
γέρων κατέμασσεν τὸ στόμα τοῦ λελωβημένου ταῖς
old-man was-wiping the mouth of-the leper with-the
ἰδίαις χερσὶν καὶ ἔβαλλεν εἰς τὸ ἴδιον αὐτοῦ στόμα.
own hands and was-putting(-it) into the own his mouth
Καὶ ἰδὼν ὁ μαθητὴς τὸ θαυμαστὸν ἔργον τοῦ γέροντος
and having-seen the disciple the marvelous work of-the old-man
ὃ ἐποίησεν ἐξεπλάγη καὶ ἐδόξασεν ὑπὲρ τοῦ τοιούτου
which he-did was-astounded and glorified for the such
ἔργου τὸν Θεὸν τὸν παρέχοντα τοιαύτην ὑπομονὴν τῷ
work — God the(-one) granting such endurance to-the
γέροντι τῷ οὕτως ὑπηρετεῖν τῷ λελωβημένῳ. Καὶ ὑπὲρ
old-man (for)-the thus to-serve the leper and for

τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν Χριστῷ τῷ Θεῷ
these all glory let-us-send-up to-Christ the God
ἡμῶν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!
our now and always and to the ages of-the ages amen

IX · EULOGIUS THE STONECUTTER

Daniel halts with his grumbling disciple in a village where Eulogius, a stonecutter past a hundred, feeds strangers nightly on a carat a day. Daniel explains: he fasted three weeks praying God give Eulogius more, and stood surety for his soul. Eulogius finds treasure, becomes prefect at Byzantium, and stops feeding strangers. Beaten off by the prefect's men, Daniel is freed of the surety in a dream at the Augusta's plea. After a failed revolt Eulogius flees home, cuts stone, and again takes strangers in.

9 Περὶ τοῦ λατόμου Εὐλογίου.
concerning the stonecutter Eulogius
Γέγονεν κατὰ τὴν Θηβαΐδα ὁ ἀββᾶς Δανιὴλ ὁ πρεσβύτερος
was in the Thebaid — abba Daniel the priest
τῆς Σκήτεως, ἔχων μεθ' ἑαυτοῦ ἕνα τῶν μαθητῶν αὐτοῦ.
— of-Scetis having with himself one of-the disciples his
Καὶ κατῆλθον πλέοντες τὸν ποταμόν· καὶ μετὰ τὸ πλεῦσαι
and they-went-down sailing the river and after the to-sail
αὐτοὺς παρέβαλον εἰς κτῆμα, τοῦ γέροντος ἐπιτρέψαντος τοῖς
them they-put-in at (a)-village the old-man having-directed to-the
ναύταις. Καὶ λέγει ὁ γέρων· Ὧδε ἔχομεν μεῖναι τὴν σήμερον.
sailors and says the old-man here we-have to-stay the today
Καὶ ἤρξατο ὁ μαθητὴς αὐτοῦ γογγύζειν καὶ λέγειν· Ἕως
and began the disciple his to-grumble and to-say until
πότε λοιπὸν γυρεύομεν; ἄγωμεν εἰς Σκήτην. Ὁ δὲ γέρων
when then do-we-wander let-us-go to Scetis the and old-man
φησίν· Οὐχὶ, ἀλλ' ὧδε μένομεν σήμερον. Καὶ εὑρέθησαν εἰς
says no but here we-stay today and they-were-found in

μέσον τοῦ χωρίου ξένοι. Καὶ λέγει ὁ ἀδελφὸς τῷ γέροντι·
(the)-middle of-the village strangers and says the brother to-the old-man
Ἆρα ἀρέσκει τῷ Θεῷ ὅτι ὡς συνάδελφοι καθεζόμεθα;
(is-it)-then pleasing — to-God that as fellow-brothers we-sit
ἄγωμεν κἂν εἰς μαρτύριον. Καὶ λέγει ὁ γέρων· Οὐχί·
let-us-go at-least to (a)-martyr's-shrine and says the old-man no
ὧδε καθέζομαι. Καὶ ἔμειναν ἐκεῖ καθήμενοι μέχρις ἑσπέρας
here I-sit and they-stayed there sitting until evening
βαθείας. Καὶ ἤρξατο ὁ ἀδελφὸς μάχην ποιεῖν μετὰ τοῦ
deep and began the brother (a)-fight to-make with the
γέροντος λέγων· Ὅτι διὰ σὲ ἔχω ἀποθανεῖν.
old-man saying that because-of you I-have to-die
Αὐτῶν δὲ λαλούντων ἦλθέν τις γέρων κοσμικὸς,
they and talking came a-certain old-man worldly
μακρὸς, ὁλοπόλιος, πάνυ γέρων, προβεβηκὼς ἡμερῶν, ἔχων
tall all-gray very old advanced (in)-days having
καὶ κύρτην· καὶ ἰδὼν τὸν ἀββᾶν Δανιὴλ περιεπλάκη
also (a)-hump and having-seen — abba Daniel he-embraced
αὐτῷ, καὶ ἤρξατο καταφιλεῖν τοὺς πόδας αὐτοῦ μετὰ
him and began to-kiss the feet his with
κλαυθμοῦ· ἠσπάσατο δὲ καὶ τὸν μαθητὴν, καὶ λέγει
weeping he-greeted and also the disciple and says
αὐτοῖς· Κελεύσατε.
to-them be-pleased(-to-come)
Ἐβάσταζε δὲ καὶ φανὸν, καὶ περιῆγεν τὰς ῥύμας τοῦ
he-was-carrying and also (a)-lantern and was-going-round the lanes of-the
χωρίου ζητῶν ξένους. Λαβὼν δὲ τὸν γέροντα καὶ τὸν
village seeking strangers having-taken and the old-man and the
μαθητὴν αὐτοῦ καὶ τοὺς ἄλλους οὓς εὗρεν ξένους, ἀπῆλθεν
disciple his and the others whom he-found strangers he-went-away
εἰς τὸν οἶκον αὐτοῦ, καὶ βαλὼν ὕδωρ εἰς τὸν νιπτῆρα
to the house his and having-put water into the basin

ἔνιψεν τοὺς πόδας τῶν μαθητῶν καὶ τοῦ γέροντος. Οὐκ
he-washed the feet of-the disciples and of-the old-man not
εἶχεν δὲ εἰς τὸν οἶκον αὐτοῦ ἄλλον τινὰ ἴδιον, οὐδὲ
had and in the house his other any own(-person) nor
ἐν ἄλλῳ τόπῳ, εἰ μὴ τὸν Θεὸν μόνον. Καὶ παρέθηκεν
in other place if not — God alone and he-set-before
αὐτοῖς τράπεζαν· καὶ μετὰ γεύσασθαι αὐτοὺς, λαβὼν τὰ
them (a)-table and after to-eat them having-taken the
περισσευθέντα κλάσματα τοῖς κυσὶ τοῦ χωρίου παρέβαλεν.
left-over pieces to-the dogs of-the village he-threw(-them)
Οὕτω γὰρ εἶχεν ἔθος ποιεῖν, καὶ οὐκ ἤφιεν ἀπὸ
thus for he-had (the)-custom to-do and not he-let-remain from
ἑσπέρας εἰς τὸ πρωΐ ψιχίαν μίαν. Καὶ λαβὼν αὐτὸν
evening to the morning crumb one and having-taken him
κατ᾽ ἰδίαν ὁ γέρων ἕως σχεδὸν διέφαυσεν ἐκάθισαν
in private the old-man until almost it-dawned they-sat
λαλοῦντες τὰ πρὸς σωτηρίαν μετὰ δακρύων πολλῶν·
talking the(-things) toward salvation with tears many
Καὶ τὸ πρωΐ ἀσπασάμενοι ἀλλήλους ἀνεχώρησαν.
and in-the morning having-greeted one-another they-withdrew
Κατὰ δὲ τὴν ὁδὸν γενόμενοι ἔβαλεν ὁ μαθητὴς μετάνοιαν
on and the road having-come made the disciple penitence
τῷ γέροντι λέγων· Ποίησον ἀγάπην, πάτερ, καὶ εἰπέ
to-the old-man saying do (a)-charity father and tell
μοι τίς ἐστὶν ὁ γέρων οὗτος καὶ πόθεν αὐτὸν γινώσκεις.
me who is the old-man this and whence him you-know
Καὶ οὐκ ἠθέλησεν εἰπεῖν αὐτῷ. Πάλιν ἐποίησεν μετάνοιαν
and not he-wished to-tell him again made penitence
ὁ ἀδελφὸς λέγων· Ἄλλα πολλά μοι ἐθάῤῥησας, καὶ
the brother saying other many(-things) to-me you-have-confided and
τὰ περὶ τοῦ γέροντος τούτου οὐ θαῤῥεῖς μοι;
the(-things) concerning the old-man this not do-you-confide to-me

Ὁ δὲ γέρων οὐκ ἠθέλησεν θαῤῥῆσαι αὐτῷ τὰ περὶ
the and old-man not wished to-confide to-him the(-things) concerning
τοῦ γέροντος· ὥστε τὸν ἀδελφὸν λυπηθῆναι καὶ μὴ
the old-man so-that the brother to-be-grieved and not
λαλῆσαι τῷ γέροντι ἕως τῆς Σκήτεως.
to-speak to-the old-man until — Scetis
Ἐλθὼν δὲ ὁ ἀδελφὸς εἰς τὸ κελλίον τὸ ἴδιον, οὐκ
having-come and the brother to the cell the own not
ἀπήνεγκεν τῷ γέροντι τὸ μικρὸν φαγίον κατὰ τὸ
brought to-the old-man the little dish according-to the
ἔθος τὴν ἐνδεκάτην ὥραν· οὕτω γὰρ ἐφύλαττεν ὁ γέρων
custom at-the eleventh hour thus for kept(-it) the old-man
πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.
all the days of-the life his
Ἑσπέρας δὲ γενομένης ἦλθεν ὁ γέρων εἰς τὸ κελλίον τοῦ
evening and having-come came the old-man to the cell of-the
ἀδελφοῦ, καὶ λέγει αὐτῷ· Τί ἐστὶν, τέκνον, ἔασας τὸν
brother and says to-him what is(-it) child you-have-let the
πατέρα σου ἀποθανεῖν ἀπὸ λιμοῦ; Ὁ δὲ φησίν· Ἐγὼ πατέρα
father your die from hunger he and says I (a)-father
οὐκ ἔχω· εἰ γὰρ εἶχον πατέρα, ἠγάπα ἂν τὸ ἴδιον τέκνον.
not have if for I-had (a)-father he-would-love — the own child
Καὶ λέγει ὁ γέρων· Οὐκοῦν παράθου· καὶ δραξάμενος τὴν
and says the old-man well-then keep(-it) and having-grasped the
θύραν ὥστε ἀνοῖξαι αὐτὸν καὶ ἀπελθεῖν, φθάνει ὁ ἀδελφὸς
door so-as to-open him and to-go-away gets-there-first the brother
καὶ κρατεῖ τὸν γέροντα, καὶ ἄρχεται καταφιλεῖν αὐτὸν καὶ
and holds the old-man and begins to-kiss him and
λέγειν αὐτῷ· Ζῇ Κύριος ὅτι οὐκ ἀπολύω σε, ἐὰν μὴ εἴπῃς μοι
to-say to-him lives (the)-Lord that not I-release you unless — you-tell me

τίς ἦν ὁ γέρων ἐκεῖνος. Οὐκ ἠδύνατο γὰρ ὁ ἀδελφὸς ἰδεῖν
who was the old-man that not was-able for the brother to-see
τὸν γέροντα θλιβόμενον εἰς τίποτε· πάνυ γὰρ ἠγάπα αὐτόν.
the old-man grieved in anything greatly for he-loved him
Τότε λέγει αὐτῷ ὁ γέρων. Ποίησόν μοι μικρὸν φαγίον,
then says to-him the old-man make me (a)-little dish
καὶ οὕτως λέγω σοι. Καὶ μετὰ τὸ γεύσασθαι τὸν γέροντα
and thus I-tell you and after the to-eat the old-man
λέγει τῷ ἀδελφῷ· Μὴ ἦς σκληροτράχηλος. Διὰ γὰρ
he-says to-the brother not be stiff-necked because-of for
τὸ λέγειν σε εἰς τὸ χωρίον οὐκ ἀνήγγειλά σοι. Βλέπε
the to-speak you in the village not I-told you see
δὲ μὴ δευτερώσῃς ἃ ἀκούσεις.
and not you-repeat what(-things) you-will-hear
Οὗτος ὁ γέρων Εὐλόγιος λέγεται· τὴν τέχνην δὲ ἔχει
this the old-man Eulogius is-called the trade and he-has
λατόμου· καταλύει δὲ ἐκ τοῦ ἐργοχείρου αὐτοῦ ἡμερούσιον
of-(a)-stonecutter he-earns and from the handiwork his (a)-day's-wage
ἑνὸς κερατίου, ἕως ἑσπέρας μηδὲν γευόμενος. Καὶ τῇ
of-one carat until evening nothing tasting and in-the
ἑσπέρᾳ εἰσέρχεται εἰς τὸ κτῆμα, καὶ ὅσους εὑρίσκει ξένους,
evening he-enters into the village and as-many he-finds strangers
λαμβάνει εἰς τὸν οἶκον αὐτοῦ καὶ τρέφει αὐτοὺς καὶ τὰ
he-takes into the house his and feeds them and the
περισσεύματα αὐτῶν παραβάλλει τοῖς κυναρίοις καθὼς εἶδες.
leftovers their he-throws to-the little-dogs as you-saw
Ἔχει δὲ τὸ ἐπιτήδευμα τοῦ λατόμου ἐκ νεότητος μέχρι
he-has and the trade of-the stonecutter from youth until
τῆς σήμερον. Ἔστι δὲ ἐτῶν ἑκατὸν καὶ πλέον· καὶ χορηγεῖ
the today he-is and of-years (a)-hundred and more and supplies

αὐτῷ ὁ Θεὸς τὴν δύναμιν ἐπ᾽ ἴσον νεωτέρου καλοῦ,
to-him — God the strength on (a)-par(-with) (a)-young-man fine
καὶ ἡμέριον τὸ αὐτὸ κεράτιον μέχρι τῆς σήμερον κάμνει.
and daily the same carat until the today he-toils(-for)
Ὅτε δὲ ἤμην νεώτερος ἐτῶν τεσσαράκοντα, ἀνέβην
when and I-was younger of-years forty I-went-up
πωλῆσαι ἐργόχειρον εἰς τὸ κτῆμα ἐκεῖνο, καὶ ἑσπέρας
to-sell handiwork to the village that and at-evening
ἦλθεν καὶ ἔλαβέν με καὶ ἄλλους σὺν ἐμοὶ ἀδελφοὺς
he-came and took me and others with me brothers
κατὰ τὸ ἔθος, καὶ ἐξενοδόχησεν ἡμᾶς.
according-to the custom and gave-hospitality-to us
Ἐγὼ δὲ ἐλθὼν ἐνταῦθα καὶ ἰδὼν τὴν ἀρετὴν
I and having-come here and having-seen the virtue
τοῦ γέροντος, ἠρξάμην νηστεύειν ἑβδομάδας συναπτὰς,
of-the old-man began to-fast weeks joined
παρακαλῶν τὸν Θεὸν ἵνα χορηγήσῃ αὐτῷ ὁ Θεὸς
beseeching — God that might-supply to-him — God
περισσότερον ἀνάλωμα, ὅπως εὐεργετήσῃ καὶ ἄλλους
more means so-that he-might-benefit also others
πλείονας. Καὶ νηστεύσας τρεῖς ἑβδομάδας ἐκείμην ἀπὸ τῆς
more and having-fasted three weeks I-was-lying from the
ἀσκήσεως ἡμιθανής· καὶ βλέπω τινὰ ἐλθόντα ἔμπροσθέν
discipline half-dead and I-see someone having-come before
μου ἱεροπρεπῆ, καὶ λέγει μοι· Τί ἔχεις, Δανιήλ; Καὶ λέγω
me holy-looking and he-says to-me what ails-you Daniel and I-say
αὐτῷ· Λόγον, δέσποτά μου, δέδωκα τῷ Χριστῷ τοῦ μὴ
to-him (my)-word master my I-have-given — to-Christ of-the not
γεύσασθαι ἄρτου ἕως οὗ ἀκούσῃ μου περὶ Εὐλογίου τοῦ
to-taste bread until — he-hears me concerning Eulogius the
λατόμου, ἵνα χορηγήσῃ αὐτῷ εὐλογίαν, ὥστε καὶ ἄλλους
stonecutter that he-supply him (a)-blessing so-that also others

πολλοὺς εὐεργετῆσαι. Καὶ λέγει μοι· Οὐχί· καλῶς ἔστιν.
many to-benefit and he-says to-me no well it-is
Καὶ λέγω αὐτῷ· Οὐχί· ἀλλὰ μᾶλλον δὸς αὐτῷ, ἵνα πάντες
and I-say to-him no but rather give to-him that all
δι᾽ αὐτοῦ δοξάζωσι τὸ ἅγιον ὄνομά σου. Καὶ λέγει μοι·
through him may-glorify the holy name your and he-says to-me
Ἐγώ σοι λέγω ὅτι καλῶς ἔστιν· εἰ θέλεις ἵνα χορηγήσω
I to-you say that well it-is if you-wish that I-supply
αὐτῷ, ἐγγύησαι περὶ τῆς ψυχῆς αὐτοῦ ὅτι σώζεται ἐν
him stand-surety for the soul his that it-is-saved in
τοῖς πλείοσι, κἀγὼ παρέχω αὐτῷ. Λέγω οὖν πρὸς αὐτόν·
the more(-things) and-I supply(-it) to-him I-say then to him
Ἐκ τῶν χειρῶν μου ἐκζήτησον τὴν ψυχὴν αὐτοῦ.
from the hands my require the soul his
Καὶ βλέπω ὡς ὅτι εἰς τὴν ἁγίαν Ἀνάστασιν ἱστάμεθα,
and I-see as that in the holy Resurrection we-are-standing
καὶ μειράκιον ἐκάθητο ἐπάνω τοῦ τιμίου λίθου, καὶ αὐτὸν
and (a)-youth was-sitting upon the precious stone and himself
Εὐλόγιον ἐκ δεξιῶν αὐτοῦ παριστάμενον. Καὶ πέμπει
Eulogius on (the)-right his standing-by and sends
ἐγγύς μου τὸ μειράκιον τινὰ τῶν παρισταμένων καὶ
near me the youth one of-those standing-by and
λέγει μοι· Σὺ εἶ ὁ ἐγγυώμενος τὸν Εὐλόγιον; Καὶ
he-says to-me you are the(-one) standing-surety-for — Eulogius and
λέγω αὐτῷ· Ναὶ, δέσποτα. Καὶ πάλιν λέγει· Εἶπατε αὐτῷ
I-say to-him yes master and again he-says tell him
ὅτι τὴν ἐγγύην ἀπαιτῆσαι ἔχω. Καὶ λέγω· Ναὶ, Δέσποτα,
that the surety to-demand I-have and I-say yes Master
πρὸς ἐμέ· μόνον πλήθυνον αὐτῷ τὴν εὐλογίαν.
on me only multiply for-him the blessing

Καὶ βλέπω ὅτι δύο τινὲς ἐκένουν εἰς τὸν κόλπον
and I-see that two certain(-men) were-emptying into the bosom
Εὐλογίου χρήματα πολλὰ πάνυ· καὶ ὅσον ἐκεῖνοι
of-Eulogius money much very and as-much-as they
ἐκένουν ἐδέχετο ὁ κόλπος Εὐλογίου. Καὶ διυπνισθεὶς
were-emptying received the bosom of-Eulogius and having-awoken
ἔγνων ὅτι εἰσηκούσθην, καὶ ἐδόξασα τὸν Θεόν.
I-knew that I-had-been-heard and I-glorified — God
Εὐλόγιος δὲ ἐξελθὼν εἰς τὸ ἐργόχειρον αὐτοῦ κρούει
Eulogius and having-gone-out to the handiwork his strikes
εἴς τινα πέτραν, καὶ ἀκούει ὑπόκουφον τινὰ, καὶ
at a-certain rock and hears hollow-(sound) a-certain and
εὑρίσκει τρυμαλίαν μικράν· καὶ πάλιν κρούει, καὶ εὑρίσκει
finds (a)-hole small and again strikes and finds
σπήλαιον μεστὸν χρημάτων. Ἔκθαμβος δὲ γενόμενος
(a)-cave full of-money astounded and having-become
λέγει ἐν ἑαυτῷ· τὰ χρήματα ταῦτα ἐκ τῶν Ἰσραηλιτῶν
he-says in himself the money this from the Israelites
ἐστίν· τί δὲ ποιήσω; Λάβω αὐτὰ εἰς τὸ κτῆμα, ἀκούει
is what and shall-I-do shall-I-take it into the village hears
ὁ ἄρχων καὶ λαμβάνει αὐτὰ, κἀγὼ κινδυνεύω· μᾶλλον
the ruler and takes it and-I am-in-danger rather
λάθω αὐτὰ εἰς τὴν ἔξω χώραν, ὅπου οὐδείς με γινώσκει.
shall-I-slip it into the outer country where no-one me knows
Καὶ μισθωσάμενος ζῷα ὡς ἵνα λίθους κουβαλήσῃ, νυκτὸς
and having-hired beasts as that stones he-might-carry by-night
ἐκουβάλησεν τὰ χρήματα παρὰ ποταμὸν, καὶ ἔλυσεν τὸ
he-carried the money by (the)-river and he-dissolved the
ἐργόχειρον τὸ καλὸν τῆς ξενοδοχίας, ὡς ἐποίει ἡμερούσιον,
handiwork the good of-the hospitality as he-was-doing daily
καὶ βαλὼν εἰς πλοῖον καταλαμβάνει τὸ Βυζάντιον.
and having-put(-it) into (a)-ship he-reaches — Byzantium

Ἐβασίλευεν δὲ τότε Ἰουστῖνος ὁ θεῖος Ἰουστινιανοῦ. Καὶ
was-reigning and then Justin the uncle of-Justinian and
δίδει χρήματα πολλὰ τῷ βασιλεῖ καὶ τοῖς μεγιστάσιν
he-gives money much to-the emperor and to-the grandees
αὐτοῦ, ὥστε ἔπαρχον τῶν ἱερῶν πραιτωρίων γενέσθαι
his so-that prefect of-the sacred praetoria to-become
αὐτόν. Καὶ οὐσίαν ἠγόρασεν μεγάλην, καὶ λέγεται τὰ
him and (an)-estate he-bought great and it-is-called the(-estate)
Αἰγύπτου μέχρι τῆς σήμερον.
of-Egypt until the today
Καὶ μετὰ δύο ἔτη πάλιν βλέπω κατ᾽ ὄναρ τὸ μειράκιον
and after two years again I-see in (a)-dream the youth
ἐκεῖνο εἰς τὴν ἁγίαν Ἀνάστασιν, καὶ λέγω ἐν ἑαυτῷ·
that in the holy Resurrection and I-say in myself
Ποῦ ἄρα ὁ Εὐλόγιος; Καὶ μετὰ μικρὸν βλέπω τὸν
where then — Eulogius and after (a)-little I-see —
Εὐλόγιον συρόμενον ἀπὸ προσώπου τοῦ μειρακίου ὑπὸ ἑνὸς
Eulogius being-dragged from (the)-face of-the youth by one
Αἰθίοπος. Καὶ διυπνισθεὶς λέγω ἐν ἑαυτῷ· Ἀβάλα ἐμοὶ τῷ
Ethiopian and having-awoken I-say in myself alas for-me the
ἁμαρτωλῷ! Τί ἐποίησα! Ἀπώλεσα τὴν ψυχήν μου. Καὶ
sinner what have-I-done I-have-destroyed the soul my and
λαβὼν τὸ πηρίον μου ἀπῆλθον εἰς τὸ κτῆμα ὡς πωλῶν
having-taken the little-bag my I-went-away to the village as selling
ἐργόχειρον καὶ προσδοκῶν ἐλθεῖν τὸν Εὐλόγιον κατὰ τὸ
handiwork and expecting to-come — Eulogius according-to the
ἔθος. Ἑσπέρα πάνυ ἐγένετο, καὶ οὐδεὶς προετρέψατό με.
custom evening late came and no-one invited me
Ἐγείρομαι οὖν, καὶ ἐρωτῶ μίαν γραῦν καὶ λέγω αὐτῇ·
I-rise then and ask one old-woman and say to-her
Ὄντως σὺ, ἀμμᾶ, λάβε μοι τρία παξαμάδια, ἵνα φάγω,
truly you amma get me three rusks that I-may-eat

ὅτι οὐκ ἔφαγον σήμερον. Καὶ λέγει· Ἐγώ. Ἡ δὲ ἀπῆλθεν
for not I-ate today and she-says I(-will) she and went-away
καὶ ἤνεγκέν μοι ὀλίγον ἑψητὸν, καὶ παρέθηκέν μοι, καὶ
and brought me (a)-little boiled(-food) and set(-it)-before me and
ἤρξατο λαλεῖν μοι ὠφελήματα πνευματικὰ, λέγουσα· Ὅτι
began to-speak to-me edifications spiritual saying that
οὐκ οἶδας ὅτι τὸ μοναχικὸν ἡσυχίαν θέλει, καὶ ἄλλα τινὰ
not you-know that the monastic(-life) stillness wants and other some
ἐπωφελῆ. Καὶ λέγω αὐτῇ· Τί οὖν κελεύεις ποιήσω, ὅτι
profitable(-things) and I-say to-her what then do-you-bid (that)-I-do for
τὸ ἐργόχειρόν μου ἦλθον πωλῆσαι; Ἡ δὲ εἶπέν μοι· Κἂν
the handiwork my I-came to-sell she and said to-me even-if
τὸ ἐργόχειρόν σου πωλῆσαι ἤθελες, μὴ ὀψίζου οὕτως εἰς
the handiwork your to-sell you-wished do-not be-late thus in
κτῆμα. Ἐὰν δὲ θέλεις μοναχὸς γενέσθαι, ὕπαγε εἰς Σκήτην.
(a)-village if and you-wish (a)-monk to-become go to Scetis
Καὶ λέγω αὐτῇ· Ὄντως ἄφες μοι τὰς ὁμιλίας ταύτας.
and I-say to-her truly spare me the talks these
Οὐκ ἔστιν εἰς τὸ κτῆμα τοῦτο φοβούμενος τὸν Θεὸν
not is in the village this fearing — God
ἄνθρωπος καὶ ἐπισυνάγων τοὺς ξένους; Καὶ λέγει μοι· Ὦ
(a)-man and gathering the strangers and she-says to-me oh
τί ἐλάλησας, κύρι ἀββᾶ; Εἴχομεν ὧδε λατόμον τινὰ καὶ
what did-you-say lord abba we-had here stonecutter a-certain and
πολλὰ ἐποίει τοῖς ξένοις. Καὶ ἰδὼν ὁ Θεὸς τὰ ἔργα
much he-was-doing for-the strangers and having-seen — God the works
αὐτοῦ ἔδωκεν αὐτῷ χάριν, καὶ ἔστιν πατρίκιος σήμερον.
his gave to-him grace and he-is (a)-patrician today
Ἀκούσας δὲ ταῦτα λέγω ἐν ἑαυτῷ· Ἐγὼ τὸν φόνον τοῦτον
having-heard and these(-things) I-say in myself I the murder this
ἐποίησα. Καὶ ἔβαλον ἑαυτὸν εἰς πλοῖον, καταλαμβάνω
did and I-put myself into (a)-ship I-reach

τὸ Βυζάντιον. Καὶ ἐρωτῶ τὴν οὐσίαν τοῦ Αἰγυπτίου ποῦ
— *Byzantium and ask the estate of-the Egyptian where*
εὑρίσκω· καὶ ὑποδεικνύουσίν μοι, καὶ καθέζομαι ἔμπροσθεν
I-find(-it) and they-show me and I-sit in-front-of
τοῦ πυλῶνος ἕως οὗ προῆλθεν. Καὶ θεωρῶ αὐτὸν ἐν πολλῇ
the gate until — he-came-out and I-see him in much
φαντασίᾳ, καὶ κράζω αὐτῷ· Ἐλέησον με, τίποτέ σοι θέλω
pomp and cry to-him have-mercy-on me something to-you I-wish
ἰδιάσαι· καὶ οὐ πρόσεχέν μοι, ἀλλὰ καὶ τὸ ὀψίκιον αὐτοῦ
to-say-privately and not he-was-heeding me but also the retinue his
ἔτυπτέν με. Πάλιν οὖν ἤφιον τὸ ὀψίκιον καὶ προελάμβανον,
was-beating me again then I-let-pass the retinue and was-getting-ahead
καὶ ὡσαύτως ἔτυπόν με. Καὶ ἐποίησα οὕτως σχηματιζόμενος
and likewise they-beat me and I-did thus playing-the-part
τέσσαρας ἑβδομάδας, καὶ οὐκ ἠδυνήθην συντυχεῖν αὐτῷ.
four weeks and not I-was-able to-meet him
Τότε ὀλιγωρήσας ἀπῆλθον καὶ ἔῤῥιψα ἐμαυτὸν ἔμπροσθεν
then having-lost-heart I-went-away and threw myself before
τῆς πύλης τῆς Θεοτόκου μετὰ κλαυθμοῦ καὶ λέγω· Κύριε,
the gate of-the God-bearer with weeping and I-say Lord
λύσον τὴν ἐγγύην τοῦ ἀνθρώπου τούτου ἀπ᾽ ἐμοῦ, ἢ
loose the surety of-the man this from me or
κἀγὼ ἀπέρχομαι εἰς τὸν κόσμον.
I-too go-away into the world
Ταῦτα ἐν τῇ διανοίᾳ μου λαλοῦντος ἀπενύσταξα, καὶ
these(-things) in the mind my saying(-I) I-dozed and
ἰδοὺ θόρυβος πολὺς ἤρχετο, καὶ λέγουσιν· Ἡ Αὐγοῦστα
behold (a)-din great was-coming and they-say the Augusta
προέρχεται. Καὶ προῆλθον ἔμπροσθεν αὐτῆς μυρίαι
comes-forth and came-forth before her ten-thousand
μυριάδες καὶ χιλίαι χιλιάδες ταγμάτων. Καὶ ἔκραξα καὶ
myriads and thousand thousands of-ranks and I-cried-out and

εἶπον. Ἐλέησόν με. Ἡ δὲ ἐστάθη καὶ λέγει μοι· Τί
said have-mercy-on me she and stood and says to-me what
ἔστιν ὃ ἔχεις; Καὶ λέγω αὐτῇ· Εὐλόγιον τὸν ἔπαρχον
is(-it) which you-have and I-say to-her Eulogius the prefect
ἐγγυησάμην· κέλευσον αὐτὸν εὐλυτῶσαί με ἐκ τῆς ἐγγύης
I-stood-surety-for bid him to-release me from the surety
ταύτης. Καὶ εἶπέν μοι· Ἐγὼ πρᾶγμα οὐκ ἔχω· ὡς
this and she-said to-me I (a)-concern not have(-in-it) as
θέλεις πλήρωσον τὴν ἐγγύην.
you-wish fulfill the surety
Καὶ διυπνισθεὶς λέγω ἐν ἑαυτῷ· Ἐὰν δεῖ με ἀποθανεῖν,
and having-awoken I-say in myself if it-must me to-die
οὐκ ἀναχωρῶ τοῦ πυλεῶνος. Καὶ ὡς προήρχετο
not I-withdraw from-the gate and as he-was-coming-forth
ἔκραξα· καὶ ἐπιτρέχει μοι ὁ ὀστιάριος καὶ δίδει μοι
I-cried-out and runs-at me the porter and gives me
πληγὰς ἕως οὗ κατέσπασεν ὅλον τὸ σῶμά μου. Τότε
blows until — he-had-torn whole the body my then
ὀλιγωρήσας λέγω ἐν ἑαυτῷ· Ἄγωμεν εἰς Σκήτην, καὶ ἐὰν
having-lost-heart I-say in myself let-us-go to Scetis and if
θέλῃ ὁ Θεὸς, σώζει καὶ Εὐλόγιον.
wishes — God he-saves also Eulogius
Ἐμοῦ δὲ ἀπερχομένου ζητῆσαι πλοῖον εὗρον ἀλεξανδρῖνον,
I and going-away to-seek (a)-ship I-found (an)-Alexandrian(-one)
καὶ ἀνέβην εἰς αὐτὸ τοῦ πλεῦσαι εἰς τὸ κελλίον. Καὶ μόνον
and went-up into it for-the to-sail to the cell and as-soon-as
ἀνέβην ἔθηκα ἐμαυτὸν ἀπ᾽ ὀλιγωρίας, καὶ πάλιν βλέπω
I-went-up I-laid(-down) myself from despondency and again I-see
ἐμαυτὸν κατ᾽ ὄναρ ἐν τῇ ἁγίᾳ Ἀναστάσει, καὶ τὸ μειράκιον
myself in (a)-dream in the holy Resurrection and the youth
ἐκεῖνο καθήμενον ἐπάνω τοῦ ἁγίου λίθου, καὶ προσέχον με
that sitting upon the holy stone and regarding me

μετ᾽ ἀπειλῆς, ὥστε με ἐκ τοῦ φόβου αὐτοῦ τρέμειν ὡς
with threat so-that me from the fear his to-tremble like
φύλλον καὶ μὴ δυνάμενον ἀνοῖξαι τὸ στόμα μου· ἀπελιθώθη
(a)-leaf and not being-able to-open the mouth my was-turned-to-stone
γὰρ ἡ καρδία μου. Καὶ ἔλεγέν μοι· Οὐκ ὑπάγεις
for the heart my and he-was-saying to-me not you-go(-away)
πληροῖς τὴν ἐγγύην; Καὶ κελεύει δύο τῶν παρισταμένων
you-fulfill the surety and he-bids two of-those standing-by
αὐτῷ κρεμάσαι με ὀπισθάγκωνα, καὶ ἔλεγέν μοι· Μὴ
him to-hang me (with-arms)-bound-behind and he-was-saying to-me do-not
ὑπὲρ τὴν δύναμίν σου ἐγγυῶ, μὴ ἀντίλεγε τῷ Θεῷ. Καὶ
beyond the power your stand-surety do-not speak-against — to-God and
οὐκ ἠδυνάμην ἀνοῖξαι τὸ στόμα μου, καὶ κρεμαμένου μου.
not I-was-able to-open the mouth my and hanging I
Ἰδοὺ φωνή· Ἡ Αὐγοῦστα παρέρχεται. Καὶ ἰδὼν αὐτὴν
behold (a)-voice the Augusta passes-by and having-seen her
ἔλαβον θάρσος, καὶ λέγω αὐτῇ λεπτῇ φωνῇ· Ἐλέησόν με,
I-took courage and I-say to-her with-thin voice have-mercy-on me
Δέσποινα τοῦ κόσμου. Καὶ λέγει μοι· Τί πάλιν θέλεις;
Lady of-the world and she-says to-me what again do-you-want
Λέγω δὲ αὐτῇ· Περὶ τῆς ἐγγύης Εὐλογίου κρέμαμαι. Καὶ
I-say and to-her for the surety of-Eulogius I-hang and
λέγει μοι· Ἐγὼ παρακαλῶ ὑπὲρ σοῦ. Καὶ βλέπω ὅτι
she-says to-me I beseech for you and I-see that
ἀπῆλθεν καταφιλῆσαι τοὺς πόδας τοῦ μειρακίου ἐκείνου.
she-went-away to-kiss the feet of-the youth that
Καὶ λέγει μοι τὸ μειράκιον· Μηκέτι ποιήσῃς τὸ πρᾶγμα
and says to-me the youth no-more do the thing
τοῦτο. Καὶ λέγω· Οὐχὶ, Δέσποτα. Ἐγὼ παρεκάλεσα ἵνα
this and I-say no Master I besought that
χρήσιμος γένηται· ἥμαρτον· συγχώρησόν μοι. Καὶ κελεύει,
useful he-might-become I-have-sinned forgive me and he-bids

καὶ λύουσίν με. Καὶ λέγει μοι· Ὕπαγε εἰς τὸ κελλίον σου, καὶ
and they-loose me and he-says to-me go to the cell your and
ἐγὼ φέρω Εὐλόγιον εἰς τὴν τάξιν αὐτοῦ· μὴ μεριμνήσῃς.
I bring Eulogius to the rank his do-not be-anxious
Καὶ διυπνισθεὶς εὐθέως ἐχάρην χαρὰν μεγάλην, ἀπαλλαγεὶς
and having-awoken at-once I-rejoiced (with)-joy great having-been-freed
τῆς τοιαύτης ἐγγύης· καὶ ἔπλευσα εὐχαριστῶν τῷ Θεῷ.
from-the such surety and I-sailed giving-thanks — to-God
Μετὰ δὲ τρεῖς μῆνας ἀκούω ὅτι ἐτελεύτησεν Ἰουστῖνος ὁ
after and three months I-hear that died Justin the
βασιλεὺς, καὶ ἐβασίλευσεν Ἰουστινιανός. Καὶ ἀνταίρουσιν
emperor and reigned Justinian and rise-up
αὐτῷ Ὑπάτης καὶ Δεξικραίτης καὶ Πόμπιος καὶ
against-him Hypatius and Dexicrates and Pompeius and
Εὐλόγιος ὁ ἔπαρχος. Καὶ οἱ μὲν τρεῖς ἀνῃρέθησαν καὶ
Eulogius the prefect and the indeed three were-put-to-death and
διηρπάγη πάντα τὰ αὐτῶν καὶ ἡ οὐσία Εὐλογίου.
were-plundered all the(-things) their and the estate of-Eulogius
Καὶ φεύγει διὰ νυκτὸς ἀπὸ Κωνσταντινουπόλεως. Καὶ
and he-flees by night from Constantinople and
κελεύει ὁ βασιλεὺς ὁπουδὰν εὑρέθη Εὐλόγιος ἀποθανεῖν
orders the emperor wherever was-found Eulogius to-die
αὐτόν. Καὶ τότε ἔρχεται φεύγων εἰς τὸ χωρίον αὐτοῦ,
him and then he-comes fleeing to the village his
καὶ ἀλλάσσει τὰ ἱμάτια αὐτοῦ ὡς τὰ τῶν χωρικῶν.
and changes the clothes his as those of-the peasants
Καὶ συνήχθη ὅλον τὸ κτῆμα ἰδεῖν αὐτὸν, καὶ λέγουσιν
and gathered whole the village to-see him and they-say
αὐτῷ· Ἠκούσαμεν ὅτι πατρίκιος ἐγένου. Καὶ λέγει· Ναί·
to-him we-heard that (a)-patrician you-became and he-says yes
πατρίκιος εἰ ἐγενόμην, τὴν ὄψιν ὑμῶν ἔβλεπον· οὐχὶ,
(a)-patrician if I-had-become the face your I-would-see no

ἄλλος ἐστὶν Εὐλόγιος, καὶ τῆς χώρας ταύτης ἐστίν. Ἐγὼ
another is Eulogius and of-the country this he-is I
γὰρ εἰς τοὺς ἁγίους τόπους ἤμην.
for in the holy places I-was
Καὶ ἔρχεται εἰς ἑαυτὸν, καὶ λέγει· Ταπεινὲ Εὐλόγιε,
and he-comes to himself and says lowly Eulogius
ἐγείρου, λάβε τὸ λατομικόν σου, καὶ ὕπαγε κἀμέ· ὧδε
rise take the stone-tool your and go toil here
γὰρ τὸ παλάτιον οὐκ ἔστιν, μήποτε καὶ τὴν κεφαλήν
for the palace not is lest also the head
σου ἀπολέσῃς. Καὶ λαβὼν τὸ λατομικὸν ἐξῆλθεν εἰς τὴν
your you-lose and having-taken the stone-tool he-went-out to the
πέτραν ὅπου τὰ χρήματα, καὶ κρούσας ἕως ὥρας ἕκτης
rock where the money and having-struck until (the)-hour sixth
οὐδὲν εὗρεν, καὶ ἤρξατο μνημονεύειν τῶν ἐδεσμάτων καὶ
nothing he-found and began to-remember the foods and
τοῦ ὀψικίου καὶ τῆς ἀπάτης ἐκείνης, καὶ πάλιν ἔλεγεν ἐν
the retinue and the deceit that and again he-said in
ἑαυτῷ· Ἐγείρου κἀμέ· ὧδε γὰρ Αἴγυπτος ἐστίν. Καὶ πρὸς
himself rise toil here for Egypt it-is and by
μικρὸν μικρὸν κατέστησεν αὐτὸν τὸ ἅγιον μειράκιον καὶ ἡ
little little restored him the holy youth and the
δέσποινα ἡ Θεοτόκος εἰς τὴν ἀρχαίαν τάξιν αὐτοῦ. Οὐ γὰρ
lady the God-bearer to the former rank his not for
ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοὺς πρώτους αὐτοῦ καμάτους.
unjust(-is) — God to-forget the first his labors
Μετὰ δὲ ὀλίγον χρόνον ἀνέβην εἰς τὸ χωρίον, καὶ ἰδοὺ
after and little time I-went-up to the village and behold
ἑσπέρας ἦλθεν καὶ ἔλαβέν με κατὰ τὸ ἔθος αὐτοῦ. Καὶ
at-evening he-came and took me according-to the custom his and
μόνον εἶδον αὐτὸν ἀνεστέναξα, καὶ δακρύσας εἶπον· Ὡς
as-soon-as I-saw him I-groaned and having-wept I-said how

ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
were-magnified the works your Lord all in wisdom you-made
Τίς θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν, ὁ ἐγείρων ἀπὸ
what god great as — God our the(-one) raising from
γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα; Ταπεινοῖ
(the)-earth (the)-poor and from (the)-dunghill lifting-up (the)-needy he-humbles
καὶ ἀνυψοῖ. Τὰ θαυμάσιά σου τίς δύναται ἐξιχνιάσαι,
and lifts-up the wonders your who can trace-out
Δέσποτα Κύριε. Ἐγὼ δὲ ὁ ἁμαρτωλὸς ἐπιχειρήσας,
Master Lord I and the sinner having-attempted(-it)
παρὰ βραχὺ παρῴκησεν τῷ ᾅδῃ ἡ ψυχή μου.
by little dwelt-near — Hades the soul my
Καὶ λαβὼν ὕδωρ ἔνιψεν τοὺς πόδας μου κατὰ τὸ
and having-taken water he-washed the feet my according-to the
ἔθος, καὶ παρέθηκεν τράπεζαν. Καὶ μετὰ τὸ γεύσασθαι
custom and set-before(-me) (a)-table and after the to-eat
ἡμᾶς λέγω αὐτῷ· Πῶς ἔχεις, ἀββᾶ Εὐλόγιε; Ὁ δὲ λέγει
us I-say to-him how are-you abba Eulogius he and says
μοι· Εὖξαι ὑπὲρ ἐμοῦ, ἀββᾶ· ἄνθρωπος γὰρ ταπεινὸς εἰμὶ,
to-me pray for me abba (a)-man for lowly I-am
μὴ ἔχων εἰς τὰς χεῖράς μου τίποτε. Κἀγὼ εἶπον αὐτῷ·
not having in the hands my anything and-I said to-him
Εἴθε μηδὲ ἃ ἔσχες εἶχες! Καὶ λέγει μοι καὶ
would-that not-even what(-things) you-had you-had and says to-me also
αὐτός· Διατί, κύρι ἀββᾶ; τί ποτέ σε ἐσκανδάλισα; Καὶ
he why lord abba what ever you did-I-offend and
λέγω· Εἰς τί γὰρ οὐκ ἐσκανδάλισάς με! Τότε ἀνεθέμην
I-say in what for not did-you-offend me then I-confided
αὐτῷ πάντα. Καὶ κλαύσαντες ἀμφότεροι λέγει μοι· Εὖξαι
to-him everything and having-wept both he-says to-me pray
ἵνα πέμψῃ μοι ὁ Θεὸς, καὶ ἀπὸ τοῦ νῦν διορθοῦμαι·
that send(-it) me — God and from the now I-amend

Καὶ λέγω αὐτῷ· Ὄντως, τέκνον, μὴ προσδοκήσῃς ἔτι
and I-say to-him truly child do-not expect still
πιστευθῆναι παρὰ Κυρίου ὅσον εἶ ἐν τῷ κόσμῳ
to-be-entrusted by (the)-Lord as-long-as you-are in the world
τούτῳ εἰ μὴ τὸ κεράτιον. Καὶ ἰδοὺ τοσοῦτον χρόνον
this if not the carat and behold so-much time
ἐχορήγησεν αὐτῷ ὁ Θεὸς καταλύειν ἡμέριον τὸ κεράτιον.
supplied him — God to-earn daily the carat
Ἰδοὺ εἶπόν σοι πόθεν αὐτὸν γνωρίζω. Λοιπὸν σὺ μὴ
behold I-have-told you whence him I-know henceforth you not
δευτερώσῃς ταῦτα τινί.
you-repeat these(-things) to-anyone
Ταῦτα ἐθάρρησεν ὁ ἀββᾶς Δανιὴλ τῷ μαθητῇ αὐτοῦ
these(-things) confided — abba Daniel to-the disciple his
μετὰ τὸ ἀναλῦσαι αὐτοὺς ἀπὸ Θηβαΐδος. Θαυμάσαι δὲ
after the to-return them from Thebaid to-marvel and
ἔστιν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν πῶς δι᾽ ὀλίγων
it-is the — of-God love-of-man how through few(-things)
ὕψωσεν τοσοῦτον, καὶ ἐταπείνωσεν τοσοῦτον πρὸς τὸ
he-raised(-him) so-much and humbled(-him) so-much for the
σύμφερον· Εὐξώμεθα οὖν καὶ ἡμεῖς ταπεινωθῆναι ἐν τῷ
advantage let-us-pray then also we to-be-humbled in the
φόβῳ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα
fear of-the God and Savior our Jesus Christ that
εὕρωμεν ἔλεος ἐνώπιον τοῦ φρικτοῦ βήματος, εὐχαῖς
we-may-find mercy before the dread judgment-seat by-(the)-prayers
καὶ πρεσβείαις τῆς Δεσποίνης ἡμῶν τῆς Θεοτόκου καὶ
and intercessions of-the Lady our the God-bearer and
ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν Ἁγίων. Ἀμήν!
ever-virgin Mary and of-all the Saints amen

Andronicus, a silversmith of Antioch, and his wife Athanasia divide their wealth in three, for the poor, the monks, and the business. Their two children die in one day; Athanasia asks to enter a convent. Andronicus frees his slaves, leaves his property to his father-in-law, and they go to the Holy Places. Daniel sends her to the Tabennesiotes and makes him a monk. Twelve years later they meet on the road; he does not know her, and they live together in silence until a note at her death reveals that the monk Athanasius was his wife. He dies soon after and is buried beside her.

Ἐπὶ Ἀνδρονίκου ἀργυροπράτου καὶ Ἀθανασίας γυναικὸς 10
about Andronicus silversmith and Athanasia wife
αὐτοῦ.
his

Ἦν τις ἀργυροπράτης ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ
there-was a-certain silversmith in Antioch the great
νεώτερος ὀνόματι Ἀνδρόνικος. Ἔλαβε δὲ γυναῖκα θυγατέρα
young by-name Andronicus he-took and (as)-wife (the)-daughter
ἀργυροπράτου ὀνόματι Ἀθανασία. Ἦν δὲ ὁ Ἀνδρόνικος
of-(a)-silversmith by-name Athanasia was and — Andronicus
εὐλαβὴς πάνυ, καλῶν ἔργων μεμεστωμένος, ὁμοίως δὲ
devout very of-good works filled likewise and
καὶ ἡ γυνὴ αὐτοῦ. Ἦσαν δὲ πλούσιοι σφόδρα. Οὕτως δὲ
also the wife his they-were and rich exceedingly thus and
ἦν αὐτῶν ὁ βίος. Τὰ τοῦ ἀργυροπρατείου καὶ τῆς
was their the life the(-things) of-the silversmith's-shop and of-the
οὐσίας αὐτῶν εἰς τρία μέρη διεῖλον· τὸ ἓν εἰς λόγον
property their into three parts they-divided the one for (the)-account
τῶν πτωχῶν, καὶ τὸ ἄλλο εἰς λόγον μοναχῶν, καὶ τὸ
of-the poor and the other for (the)-account of-monks and the
ἄλλο μέρος εἰς λόγον τῆς οὐσίας καὶ τοῦ ἐργαστηρίου.
other part for (the)-account of-the property and of-the workshop

Πᾶσα δὲ ἡ πόλις ἠγάπα τὸν κύριν Ἀνδρόνικον διὰ
all and the city loved the lord Andronicus because-of
τὴν ἐπιείκειαν αὐτοῦ. Ἔτεκον δὲ υἱὸν καὶ ἐπωνόμασεν
the gentleness his they-bore and (a)-son and he-named
αὐτὸν Ἰωάννην. Ἔτι δὲ ἐν γαστρὶ λαβοῦσα ἔτεκεν
him John again and in womb having-conceived she-bore
θυγατέρα καὶ ἐπωνόμασεν αὐτὴν Μαρίαν. Καὶ οὐκ ἔτι
(a)-daughter and he-named her Mary and not any-more
προσέθηκεν προσεγγίσαι Ἀνδρόνικος τῇ γυναικὶ αὐτοῦ,
he-added to-approach Andronicus to-the wife his
ἀλλ᾽ ἦν αὐτῶν ἡ σπουδὴ μετὰ καὶ ἄλλων φιλοχρίστων.
but was their the zeal with also other Christ-lovers
Κατὰ κυριακὴν καὶ δευτέραν καὶ τετράδα καὶ παρασκευὴν
on (the)-Lord's-day and Monday and Wednesday and Friday
ὑπῆγεν ὁ Ἀνδρόνικος εἰς τὰ λούσματα τῶν ἀδελφῶν,
used-to-go — Andronicus to the baths of-the brothers
ὁμοίως καὶ ἡ γυνὴ αὐτοῦ εἰς τὰ λούσματα τῶν γυναικῶν.
likewise also the wife his to the baths of-the women
Καὶ μετὰ δώδεκα ἔτη χρόνον μιᾷ τῶν ἡμερῶν εἰσῆλθεν
and after twelve years time on-one of-the days came-in
ἡ κυρία Ἀθανασία ἀπὸ τῆς φιλοπονίας καὶ ἀπῆλθεν
the lady Athanasia from the charitable-work and went-away
ἐπισκέψασθαι τὰ παιδία αὐτῆς, καὶ εὗρεν τοὺς ἀμφοτέρους
to-visit the children her and found the both
στενάζοντας. Ἡ δὲ ταραχθεῖσα ἀνέβη ἐπὶ τὴν κλίνην
groaning she and having-been-troubled went-up onto the bed
καὶ ἔθηκεν αὐτὰ ἐπὶ τὰ στήθη αὐτῆς. Ὁ δὲ μακάριος
and laid them on the breasts her the and blessed
Ἀνδρόνικος εἰσελθὼν ἤρξατο κατακράζειν κατὰ τῆς
Andronicus having-come-in began to-cry-out against the
γυναικὸς αὐτοῦ ὡς κοιμωμένης. Ἡ δὲ εἶπεν αὐτῷ·
wife his as (if-she-were)-sleeping she and said to-him

Μὴ ὀργίζου, κύριέ μου· τὰ παιδία γὰρ ἀσθενοῦσιν. Καὶ
do-not be-angry lord my the children for are-sick and
ἁψάμενος αὐτῶν εὗρεν αὐτὰ πυρετῷ συνεχόμενα, καὶ
having-touched them he-found them by-fever held and
στενάξας λέγει· Τὸ θέλημα Κυρίου γενέσθω. Καὶ ἀπῆλθεν
having-groaned he-says the will of-(the)-Lord be-done and went-away
ἔξω τῆς πόλεως εὔξασθαι εἰς τὸν Ἅγιον Ἰουλιανόν. Ἐκεῖ
outside the city to-pray at the Saint Julian there
γὰρ ἔκειντο οἱ γονεῖς αὐτοῦ. Διέσυρε δὲ μέχρις ἕκτης
for lay the parents his be-lingered and until (the)-sixth
ὥρας, καὶ ἀκούει ὀλολυγμοῦ καὶ θορύβου ἐν τῇ οἰκίᾳ αὐτοῦ.
hour and hears (a)-wailing and uproar in the house his
Ὁ δὲ ταραχθεὶς ἔδραμεν καὶ εὗρε σχεδὸν πᾶσαν τὴν
he and having-been-troubled ran and found almost all the
πόλιν ἐν τῇ οἰκίᾳ αὐτοῦ καὶ τὰ παιδία ἀποθανόντα. Ὁ δὲ
city in the house his and the children dead he and
ἰδὼν τὰ νήπια ὁμοῦ κείμενα ἐν τῇ κλίνῃ νεκρὰ, εἰσελθὼν
having-seen the infants together lying on the bed dead having-gone-in
ἐν τῷ εὐκτηρίῳ ἔῤῥιψεν ἑαυτὸν ἔμπροσθεν τοῦ Σωτῆρος·
into the oratory threw himself before the Savior
καὶ εἶπεν· Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου,
and said I-myself naked came-out from (the)-womb of-mother my
γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος
naked also I-shall-go-away there the Lord gave the Lord
ἀφείλατο. Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο.
took-away as to-the Lord it-seemed(-good) thus also it-happened
Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ
may-be the name of-(the)-Lord blessed from the now and
ἕως τοῦ αἰῶνος! Ἡ δὲ γυνὴ αὐτοῦ ἐζήτει πνίξαι ἑαυτὴν
until the age the and wife his was-seeking to-strangle herself
λέγουσα· Ὅτι μετὰ τῶν τέκνων μου ἀποθανοῦμαι. Συνῆλθε
saying that with the children my I-shall-die came-together

δὲ πᾶσα ἡ πόλις εἰς τὸ ἐξόδιον τῶν παιδίων. Καὶ ἔθηκαν
and all the city to the funeral of-the children and they-laid
αὐτὰ ἐν τῷ μαρτυρίῳ τοῦ Ἁγίου Ἰουλιανοῦ ἐπάνω τῶν
them in the martyr's-shrine of-the Saint Julian above the
πάππων αὐτῶν. Λαβὼν δὲ τὸν μακάριον Ἀνδρόνικον ὁ
grandfathers their having-taken and the blessed Andronicus the
πατριάρχης εἰς τὸ ἐπισκοπεῖον παρεμυθήσατο αὐτόν.
patriarch to the bishop's-house consoled him
Ἡ δὲ γυνὴ αὐτοῦ οὐκ ἠθέλησεν εἰς τὸν οἶκον αὐτῆς
the and wife his not wished to the house her
ἀπελθεῖν, ἀλλ' εἰς τὸ μαρτύριον ἐκοιμήθη. Μεσούσης
to-go-away but in the martyr's-shrine she-slept being-at-its-middle
δὲ τῆς νυκτὸς παραφαίνεται αὐτῇ ὁ μάρτυς ἐν σχήματι
and the night appears to-her the martyr in (the)-habit
μοναχοῦ λέγων αὐτῇ· Τί οὐκ ἀφῇς ἀναπαυῆναι τοὺς ὧδε;
of-(a)-monk saying to-her why not do-you-let to-rest those here
Ἡ δὲ εἶπεν· Κύριέ μου, μὴ λυπηθῇς κατ' ἐμοῦ, ἐπειδὴ
she and said lord my do-not be-grieved against me since
πονοῦσα εἰμί· δύο γὰρ τέκνα εἶχον, καὶ σήμερον τὰ δύο
in-pain I-am two for children I-had and today the two
ἐξεκόμισα ὁμοῦ. Ὁ δὲ λέγει πρὸς αὐτήν· Πόσου χρόνου
I-carried-out together he and says to her of-how-much time
ἦσαν τὰ παιδία; Λέγει αὐτῷ· Δώδεκα ἐτῶν τὸ ἓν καὶ τὸ
were the children she-says to-him of-twelve years the one and the
ἄλλο δέκα. Καὶ εἶπεν αὐτῇ· Τί οὖν ὑπὲρ ἐκείνων κλαίεις;
other ten and he-said to-her why then for those do-you-weep
εἴθε ἔκλαιες τὰς ἁμαρτίας σου! Λέγω σοι γάρ, γύναι,
would-that you-wept-for the sins your I-tell you for woman
ὅτι ὃν τρόπον ἀπαιτεῖ ἡ φύσις τοῦ ἀνθρώπου τὴν
that (in)-what manner demands the nature of-the man the
βρῶσιν, καὶ ἀδύνατον μὴ δοῦναι αὐτῇ φαγεῖν, οὕτως καὶ
food and impossible(-it-is) not to-give her to-eat thus also

τὰ νήπια ἀπαιτοῦσι τὸν Χριστὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὰ
the infants demand-of — Christ in the day that the
μέλλοντα ἀγαθὰ λέγοντα· Δικαιοκρίτα, ἐστέρησας ἡμᾶς
coming good(-things) saying just-Judge you-deprived us
τὰ ἐπίγεια, μὴ στερήσῃς ἡμᾶς καὶ τὰ οὐράνια. Ἡ
of-the earthly(-things) do-not deprive us also of-the heavenly(-things) she
δὲ ἀκούσασα κατενύγη καὶ μετέβαλε τὸ πένθος εἰς χαρὰν
and having-heard was-pierced and changed the mourning into joy
λέγουσα· Εἰ ἄρα ζῶσι τὰ τέκνα μου ἐν οὐρανοῖς τί κλαίω;
saying if then live the children my in heavens why do-I-weep
Καὶ στραφεῖσα ἐζήτησε τὸν ἀββᾶν περιελθοῦσα ὅλον τὸν
and having-turned she-sought the abba having-gone-round whole the
ναόν, καὶ οὐχ εὗρεν αὐτόν, καὶ κρούει τῷ θυρωρῷ
temple and not found him and knocks for-the doorkeeper
λέγουσα· Ποῦ ἔστιν ὁ ἀββᾶς ὁ εἰσελθὼν ἄρτι ὧδε;
saying where is the abba the(-one) having-come-in just-now here
Λέγει αὐτῇ ὁ θυρωρός· Βλέπεις τὰς θύρας ἠσφαλισμένας
says to-her the doorkeeper you-see the doors secured
καὶ λέγεις· Ποῦ ἔστιν ὁ ἀββᾶς ὁ εἰσελθὼν ὧδε ἄρτι!
and you-say where is the abba the(-one) having-come-in here just-now
Καὶ ἔγνω ὁ παραμονάριος γνοὺς ὅτι ὀπτασίαν ἑώρακεν.
and knew the sacristan having-known that (a)-vision she-has-seen
Ἡ δὲ φόβῳ συσχεθεῖσα παρεκάλεσεν ἀπελθεῖν εἰς τὸν
she and by-fear seized besought to-go-away to the
οἶκον αὐτῆς καὶ λαβὼν αὐτὴν ὁ θυρωρὸς εἰσήγαγεν εἰς
house her and having-taken her the doorkeeper brought(-her) into
τὸν οἶκον αὐτῆς. Καὶ διηγήσατο τῷ ἀνδρὶ αὐτῆς ἃ
the house her and she-related to-the husband her what(-things)
εἶδεν, καὶ φοβηθέντες λέγει πρὸς αὐτὸν ἡ μακαρία
she-saw and having-taken-fright says to him the blessed
Ἀθανασία· Ὄντως, κύριέ μου, καὶ ἐν τῇ ζωῇ τῶν νηπίων
Athanasia truly lord my even in the life of-the infants

ἠθέλησά σοι εἰπεῖν καὶ ἠρυθρίων· ἴδε οὖν καὶ μετὰ τὸν
I-wished to-you to-say and I-was-blushing see then even after the
θάνατον αὐτῶν λέγω σοι· Ἐὰν ἀκούσῃς μου, βάλλῃς με
death their I-say to-you if you-hear me you-put me
εἰς μοναστήριον ἵνα κλαύσω τὰς ἁμαρτίας μου. Καὶ
into (a)-monastery that I-may-weep-for the sins my and
λέγει πρὸς αὐτήν· Ὕπαγε δοκίμασον τὸν λογισμόν σου
says to her go test the thought your
μίαν ἑβδομάδα, καὶ ἐὰν ἐπιμείνῃς τῷ σκοπῷ τούτῳ
one week and if you-persist in-the purpose this
λαλοῦμεν. Ἡ δὲ πάλιν ἐλθοῦσα τὸν αὐτὸν λόγον εἶπεν. Καὶ
we-speak she and again having-come the same word said and
μετακαλεῖται ὁ μακάριος Ἀνδρόνικος τὸν γαμβρὸν αὐτοῦ
summons the blessed Andronicus the father-in-law his
καὶ παραδίδει αὐτῷ πᾶσαν τὴν οὐσίαν αὐτοῦ, λέγων· Εἰς
and hands-over to-him all the property his saying to
τοὺς Ἁγίους Τόπους ὑπάγομεν εὔξασθαι· ἐὰν οὖν σύμβῃ
the Holy Places we-go to-pray if then befall
ἡμῖν τὸ ἀνθρώπινον, ἔχεις πρὸς τὸν Θεὸν τὸ πῶς ποιεῖς
us the human(-lot) you-have to — God the how you-do
μετὰ τῆς οὐσίας ταύτης. Παρακαλῶ σε οὖν καλῶς ποιῆσαι
with the property this I-beseech you then well to-do
μετὰ τῆς ψυχῆς σου, καὶ νοσοκομεῖον ποιῆσαι τὰ ὧδε
with the soul your and (a)-hospital to-make the(-things) here
καὶ ξενοδοχεῖον μοναχῶν. Καὶ ἐλευθερώσας τὰ ἀνδράποδα
and (a)-hostel of-monks and having-freed the slaves
αὐτοῦ ἔδωκεν αὐτοῖς λεγᾶτα. Καὶ λαβὼν μικρὰν εὐλογίαν
his he-gave them legacies and having-taken (a)-small blessing
ἐξῆλθεν ἐκ τῆς πόλεως αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ μόνοι. Ἡ
went-out from the city he and the wife his alone —
δὲ Ἀθανασία ἀπὸ μακρόθεν ἰδοῦσα τὸν οἶκον αὐτῆς καὶ
and Athanasia from afar having-seen the house her and

ἀναβλέψασα εἰς τὸν οὐρανὸν εἶπεν· Ὁ Θεὸς, ὁ εἰπὼν
having-looked-up to the heaven said O God the(-one) having-said
τῷ Ἀβραὰμ καὶ τῇ Σάρᾳ· Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ
— to-Abraham and — to-Sarah go-out from the land your and from
τῆς συγγενείας σου, αὐτὸς ὁδήγησον ἡμᾶς ἐν τῷ φόβῳ
the kindred your you-yourself guide us in the fear
σου. Ἰδοὺ εἰάσαμεν τὸν οἶκον ἡμῶν ἀνεῳγμένον διὰ
your behold we-have-left the house our open for-the-sake-of
τὸ ὄνομά σου, μὴ κλείσῃς ἔμπροσθεν ἡμῶν τὴν θύραν
the name your do-not shut before us the door
τῆς βασιλείας σου! Καὶ κλαύσαντες ἀμφότεροι ἀπῆλθον.
of-the kingdom your and having-wept both went-away
Καὶ φθάσαντες τοὺς Ἁγίους Τόπους προσεκύνησαν. Καὶ
and having-reached the Holy Places they-worshiped and
συντυχίας πολλῶν πατέρων λαβόντες καταλαμβάνουσι τὸν
meetings of-many fathers having-had they-reach the
Ἅγιον Μηνᾶν Ἀλεξανδρείας καὶ ἀπολαύουσι τοῦ μάρτυρος.
Saint Menas of-Alexandria and enjoy the martyr
Παρακύπτει οὖν ὁ κύριος Ἀνδρόνικος καὶ θεωρεῖ περὶ
looks-out then the lord Andronicus and sees about
ὥραν ἐννάτην μοναχὸν μετὰ λαϊκοῦ μάχην ποιοῦντα, καὶ
(the)-hour ninth (a)-monk with (a)-layman (a)-fight making and
δραμὼν λέγει τῷ λαϊκῷ· Διὰ τί ὑβρίζεις τὸν ἀββᾶν;
having-run he-says to-the layman for what do-you-insult the abba
Καὶ λέγει αὐτῷ· Δέσποτα, ἐπὶ τὴν Σκῆτιν ἐμισθώσατο τὸ
and he-says to-him master for — Scetis he-hired the
ζῷόν μου, καὶ λέγω αὐτῷ· Ἄγωμεν ἄρτι ἵνα ὁδεύσωμεν
beast my and I-say to-him let-us-go now that we-may-travel
ὅλην τὴν νύκτα καὶ αὔριον ἕως ὥρας δευτέρας ἵνα
whole the night and tomorrow until (the)-hour second that
φθάσωμεν πρὸ τοῦ καύματος, καὶ οὐ θέλει ἵνα ἀπέλθωμεν
we-may-arrive before the heat and not he-wants that we-go-away

ἄρτι. Λέγει αὐτῷ ὁ κύριος Ἀνδρόνικος· Ἔχεις ἄλλο ἓν
now says to-him the lord Andronicus have-you other one
ζῷον; Λέγει αὐτῷ· Ναί. Ὕπαγε, φησὶν, φέρε αὐτὸ καὶ
beast says to-him yes go he-says bring it and
λαμβάνω ἐγὼ τὸ ἓν καὶ ὁ ἀββᾶς τὸ ἕν, ὅτι κἀγὼ
I-take I the one and the abba the one for I-too
εἰς τὴν Σκῆτιν θέλω ἀπελθεῖν. Καὶ λέγει ὁ Ἀνδρόνικος
to — Scetis wish to-go-away and says — Andronicus
τῇ γυναικὶ αὐτοῦ· Μεῖνον ὧδε ἕως οὗ κατέρχομαι εἰς
to-the wife his stay here until — I-go-down to
τὴν Σκῆτιν καὶ εὐλογοῦμαι παρὰ τῶν πατέρων καὶ
— Scetis and am-blessed by the fathers and
ἐπανέρχομαι. Λέγει αὐτῷ· Λάβε με μετὰ σοῦ. Λέγει αὐτῇ·
come-back she-says to-him take me with you he-says to-her
Γυνὴ οὐ κατέρχεται εἰς Σκῆτιν. Ἡ δὲ λέγει αὐτῷ μετὰ
(a)-woman not goes-down to Scetis she and says to-him with
κλαυθμοῦ· Ἔχεις πρὸς τὸν Ἅγιον Μηνᾶν ἐὰν ἀπομείνῃς
weeping you-have(-it) to the Saint Menas if you-stay-away
ἕως οὗ καταστήσῃς με εἰς μοναστήριον. Καὶ συνταξάμενοι
until — you-place me in (a)-monastery and having-taken-leave-of
ἀλλήλους κατέβη αὐτὸς εἰς τὴν Σκῆτιν, καὶ προσκυνήσας
one-another went-down he to — Scetis and having-made-obeisance-to
τοὺς πατέρας κατὰ λαύραν ἤκουσε περὶ τοῦ ἀββᾶ Δανιὴλ,
the fathers by laura he-heard about — abba Daniel
καὶ ἀπελθὼν κόπῳ πολλῷ ἠδυνήθη συντυχεῖν αὐτῷ.
and having-gone-away with-toil much he-was-able to-meet him
Ἀνέθετο οὖν πάντα τῷ γέροντι. Καὶ λέγει αὐτῷ ὁ γέρων·
he-confided then everything to-the old-man and says to-him the old-man
Ἄπελθε φέρε τὴν γυναῖκά σου καὶ ποιῶ σοι γράμματα
go-away bring the wife your and I-make for-you letters
καὶ ἀποφέρεις αὐτὴν εἰς Θηβαΐδα εἰς τὸ μοναστήριον
and you-take her to Thebaid to the monastery

τῶν Ταβεννησιωτῶν. Ὁ δὲ ἐποίησε καθὼς εἶπεν αὐτῷ.
of-the Tabennesiotes he and did as he-said to-him
Καὶ ἤνεγκε τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν γέροντα· καὶ
and brought the wife his to the old-man and
ἐλάλησεν αὐτοῖς τὸν λόγον τῆς σωτηρίας. Καὶ ποιήσας
he-spoke to-them the word of-the salvation and having-made
γράμματα ἀπέστειλεν αὐτοὺς εἰς τὸ μοναστήριον τῶν
letters he-sent them to the monastery of-the
Ταβεννησιωτῶν. Καὶ ἐπαναλύσας ὁ Ἀνδρόνικος ἔδωκεν
Tabennesiotes and having-returned — Andronicus gave
αὐτῷ τὸ σχῆμα ὁ γέρων καὶ ἐδίδαξεν αὐτὸν τὰ τοῦ
him the habit the old-man and taught him the(-things) of-the
μοναχικοῦ, καὶ ἔμεινεν παρ᾽ αὐτῷ ἔτη δώδεκα. Καὶ μετὰ
monastic(-life) and he-stayed with him years twelve and after
δώδεκα ἔτη παρεκάλεσε τὸν γέροντα ἀπολῦσαι αὐτὸν ἐπὶ
twelve years he-besought the old-man to-release him to
τοὺς Ἁγίους Τόπους. Ὁ δὲ ποιήσας αὐτῷ εὐχὴν ἀπέλυσεν.
the Holy Places he and having-made for-him (a)-prayer released(-him)
Ὁ δὲ ἀββᾶς Ἀνδρόνικος ὁδεύων κατὰ τὴν Αἴγυπτον
— and abba Andronicus traveling through — Egypt
ἐκάθισεν ὑποκάτω ἀκανθαίας ἵνα λάβῃ ἀναψυχὴν ἀπὸ
sat beneath (an)-acacia that he-might-take refreshment from
τοῦ καύματος. Καὶ ἰδοὺ κατ᾽ οἰκονομίαν Θεοῦ ἡ γυνὴ
the heat and behold by dispensation of-God the wife
αὐτοῦ ἐρχομένη ἐν ἀνδρικῷ σχήματι ἀπιοῦσα καὶ αὐτὴ ἐπὶ
his coming in (a)-man's habit going also she to
τοὺς Ἁγίους Τόπους. Καὶ ἀσπασάμενοι ἀλλήλους, ἐγνώρισεν
the Holy Places and having-greeted one-another recognized
ἡ περιστερὰ τὸν ὁμόζυγον· αὐτὸς δὲ πῶς εἶχεν γνωρίσαι
the dove the mate he but how was-he-to recognize
τοσοῦτον κάλλος μαρανθὲν καὶ ὡς Αἰθίοπα φαινομένην;
such beauty withered and like (an)-Ethiopian appearing

Λέγει οὖν αὐτῷ· Ποῦ ἀπέρχῃ, ἀββᾶ; Λέγει αὐτῇ· Εἰς τοὺς
says then to-him where are-you-going abba he-says to-her to the
Ἁγίους Τόπους. Λέγει αὐτῷ· κἀγὼ ἐκεῖ θέλω ἀπελθεῖν·
Holy Places she-says to-him I-too there wish to-go-away
ὁδεύσωμεν ὁμοῦ ἀμφότεροι, ὡς μὴ ὄντες ὁμοῦ οὕτως
let-us-travel together both as not being together thus
ὁδεύσωμεν τῇ σιωπῇ. Ὁ δὲ λέγει· Ὡς κελεύεις. Λέγει
let-us-travel in-the silence he and says as you-bid she-says
αὐτῷ· Τὸ ὄντως σὺ οὐκ εἶ μαθητὴς τοῦ ἀββᾶ Δανιήλ;
to-him the truly you not are (a)-disciple — of-abba Daniel
Λέγει· Ναί. Καὶ εἶπεν· Αἱ εὐχαὶ τοῦ γέροντος συνοδεύσουσιν
he-says yes and she-said the prayers of-the old-man will-travel-with
ἡμῖν. Προσκυνήσαντες οὖν τοὺς Ἁγίους Τόπους ἐπανέλυσαν
us having-worshiped then the Holy Places they-returned
ἐν Ἀλεξανδρείᾳ. Λέγει ὁ ἀββᾶς Ἀθανάσιος τῷ ἀββᾷ
to Alexandria says — abba Athanasius — to-abba
Ἀνδρονίκῳ· Θέλεις μείνωμεν ὁμοῦ εἰς κελλίον; Λέγει· Ναί·
Andronicus do-you-wish (that)-we-stay together in (a)-cell he-says yes
θέλω οὖν πρῶτον λαβεῖν τὴν εὐχὴν τοῦ γέροντος. Λέγει
I-wish then first to-receive the prayer of-the old-man says
αὐτῷ· Ὕπαγε καὶ μένω σε εἰς τὸ Ὀκτὼ καὶ Δέκατον,
to-him go and I-wait-for you at the Eight and Tenth
καὶ ἐὰν ἔρχῃ, ὡς ὡδεύσαμεν τῇ σιωπῇ μένωμεν οὕτως.
and if you-come as we-traveled in-the silence let-us-stay thus
Ἐπεὶ ἐὰν μὴ βαστάζῃ σε μὴ ἔλθῃς. Ἐγὼ γὰρ εἰς
since if not it-suits you do-not come I for at
τὸ Ὀκτὼ καὶ Δέκατον μεῖναι ἔχω. Ὁ δὲ ἀπελθὼν
the Eight and Tenth to-stay have he and having-gone-away
ἀνήγγειλεν τῷ γέροντι. Ὁ δὲ λέγει αὐτῷ· Ὕπαγε ἀγάπα
reported(-it) to-the old-man he and says to-him go love
τὴν σιωπὴν, καὶ μεῖναι μετὰ τοῦ ἀδελφοῦ, μοναχὸς γάρ
the silence and to-stay with the brother (a)-monk for

ἐστιν ὡς δεῖ εἶναι. Ἐπαναλύσαντος δὲ αὐτοῦ ἔμειναν ἐν
he-is as one-should be having-returned and he they-stayed in
φόβῳ Θεοῦ ἄλλα ἔτη δώδεκα, καὶ οὐκ ἐγνωρίσθη αὐτῷ.
fear of-God other years twelve and not she-was-recognized by-him
Πολλάκις οὖν ἀνέβαινεν ὁ γέρων εἰς ἐπίσκεψιν αὐτῶν
often then went-up the old-man to (a)-visit their
διαλεγόμενος αὐτοῖς τὰ πρὸς ὠφέλειαν. Ἅπαξ οὖν
discoursing with-them the(-things) toward profit once then
ἀνελθὼν καὶ συνταξάμενος αὐτοῖς πρὸ τοῦ φθάσαι αὐτὸν
having-gone-up and having-taken-leave-of them before the to-reach him
τὸν Ἅγιον Μηνᾶν κατέλαβεν αὐτὸν ὁ ἀββᾶς Ἀνδρόνικος,
the Saint Menas overtook him — abba Andronicus
καὶ λέγει αὐτῷ· Ὁ ἀββᾶς Ἀθανάσιος πρὸς Κύριον ὑπάγει.
and says to-him — abba Athanasius to (the)-Lord is-departing
Καὶ ἐπαναλύσας ὁ γέρων εὗρεν αὐτὸν συνεχόμενον. Καὶ
and having-returned the old-man found him held(-by-fever) and
ἤρξατο κλαίειν ὁ ἀββᾶς Ἀθανάσιος. Καὶ λέγει αὐτῷ ὁ
began to-weep — abba Athanasius and says to-him the
γέρων· Ἀντὶ τοῦ χαρῆναι ὅτι ἀπαντῆσαι ἔχεις τῷ Κυρίῳ
old-man instead-of the to-rejoice that to-meet you-have to-the Lord
κλαίεις; Λέγει αὐτῷ· Οὐ κλαίω εἰ μὴ διὰ τὸν ἀββᾶν
you-weep he-says to-him not I-weep if not because-of — abba
Ἀνδρόνικον· ἀλλὰ ποίησον ἀγάπην, καὶ μετὰ τὸ θάψαι με
Andronicus but do (a)-charity and after the to-bury me
εὑρήσεις πιττάκιον κείμενον πρὸς κέφαλά μου. Ἀνάγνωθι
you-will-find (a)-note lying at (the)-head my read(-it)
καὶ δὸς αὐτὸ τῷ ἀββᾷ Ἀνδρονίκῳ. Καὶ ποιήσαντες εὐχὴν
and give it — to-abba Andronicus and having-made (a)-prayer
καὶ κοινωνήσας ἐκοιμήθη ἐν Κυρίῳ. Ἦλθον δὲ κηδεῦσαι
and having-communicated he-fell-asleep in (the)-Lord they-came and to-lay-out
αὐτὸν καὶ ἰδοὺ τῇ φύσει εὑρέθη γυνή, καὶ ἠκούσθη
him and behold by-the nature he-was-found (a)-woman and it-was-heard

εἰς ὅλην τὴν λαύραν. Καὶ πέμψας ὁ γέρων ἀνήνεγκεν
in whole the laura and having-sent the old-man brought-up
τὴν Σκῆτιν πᾶσαν καὶ τὴν ἐσωτέραν ἔρημον. Καὶ ἀνῆλθον
— Scetis all and the inner desert and came-up
πᾶσαι αἱ λαῦραι Ἀλεξανδρείας, καὶ πᾶσα ἡ πόλις συνῆλθεν
all the lauras of-Alexandria and all the city came-together
καὶ οἱ Σκητιῶται λευκημονοῦντες. Οὕτως γάρ ἐστι τὸ
and the Scetiotes dressed-in-white thus for it-is the
ἔθος αὐτῶν ἐν τῇ Σκήτει. Καὶ μετὰ κλάδων καὶ βαίων
custom their in — Scetis and with branches and palm-leaves
ἐξεκόμισαν τὸ τίμιον λείψανον τῆς μακαρίας Ἀθανασίας
they-carried-out the precious remains of-the blessed Athanasia
δοξάζοντες τὸν Θεὸν, τὸν τοσαύτην ὑπομονὴν παρασχόντα
glorifying — God the(-one) such endurance having-granted
τῇ γυναικί. Καὶ ἔμεινεν ὁ γέρων τὰ ἕβδομα τῆς
to-the woman and stayed the old-man the seventh(-day-rites) of-the
μακαρίας Ἀθανασίας, καὶ μετὰ τὰ ἕβδομα ἠθέλησεν
blessed Athanasia and after the seventh(-day-rites) he-wished
λαβεῖν τὸν ἀββᾶν Ἀνδρόνικον μετ' αὐτοῦ καὶ οὐκ ἠνέσχετο
to-take — abba Andronicus with him and not he-endured(-it)
λέγων· Μετὰ τῆς κυρίας μου τελευτήσω. Ἀνήγγειλεν γὰρ
saying with the lady my I-shall-die had-reported for
αὐτῷ ὁ γέρων ἀπὸ τοῦ πιττακίου μαθὼν ὅτι ἡ γυνὴ
to-him the old-man from the note having-learned that the wife
αὐτοῦ ἦν. Καὶ ἔμεινεν ἐκεῖσε ὁ ἀββᾶς Ἀνδρόνικος, καὶ
his she-was and stayed there — abba Andronicus and
μετὰ χρόνον τινὰ ἐκοιμήθη καὶ αὐτὸς, καὶ ἀναβὰς πάλιν
after time some fell-asleep also he and having-gone-up again
ὁ ἀββᾶς Δανιὴλ καὶ πάντας τοὺς πατέρας ἐπισωρεύσας
— abba Daniel and all the fathers having-heaped-together
ἐκήδευσεν τὸ λείψανον μετὰ ψαλμῶν καὶ ὕμνων καὶ
buried the remains with psalms and hymns and

κατέθηκεν αὐτὸ πλησίον τοῦ ἀββᾶ Ἀθανασίου. Εἰς δόξαν
laid it near — abba Athanasius to glory
Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ
of-Father and of-Son and of-holy Spirit now and always and
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!
to the ages of-the ages amen

XI · DOULAS AND THE FALSELY ACCUSED MONK

Abba Doulas tells of a lowly brother who rejoiced when his brothers beat and insulted him. When another monk steals the church's vessels, the brother is accused and answers only, "Forgive me, I erred." Stripped of the habit, flogged, burned by the duke, and sentenced to death, he says nothing more. The thief repents, and the brother is freed and thanks his accusers. Three days later he dies praying; at his burial only his clothes and sandals remain.

Ἐπὶ τοῦ ἀββᾶ Δουλᾶ. 11
about — abba Doulas
Διηγήσατο ὁ ἀββᾶς Δανιὴλ ὅτι ἐγένετό τις μοναχὸς
related — abba Daniel that there-was a-certain monk
Δουλᾶς ὀνόματι, ὃς καὶ ἐν μεγάλοις τῶν πατέρων
Doulas by-name who also among (the)-great of-the fathers
ἐλογίσθη.
was-reckoned
Οὗτος οὖν ὁ Δουλᾶς τὰ πρῶτα ἐν κοινοβίῳ ἐκάθισεν ἐπὶ
this then — Doulas at-the first in (a)-community sat for
ἔτη τεσσαράκοντα καὶ ἔλεγεν ὅτι διαφόρως δοκιμάσας εὗρον
years forty and he-said that variously having-tested I-found
ὅτι οἱ ἐν τοῖς κοινοβίοις πλεῖον μᾶλλον καὶ ταχίστερον
that those in the communities more rather and quicker
προκόπτουσιν εἰς ἐργασίαν ἀρετῶν ἐὰν ἐξ ἀληθινῆς καρδίας
advance in (the)-working of-virtues if from (a)-true heart

ὧσιν ἐν τῷ τόπῳ. Ἐγένετο γὰρ, φησίν, ἀδελφός τις ἐν
they-are in the place there-was for he-says brother a-certain in
κοινοβίῳ τῷ μὲν σχήματι ταπεινὸς καὶ ἐξουδενόμενος,
(a)-community in-the indeed appearance lowly and despised
τῇ δὲ διανοίᾳ μέγας καὶ ἔντιμος. Οὗτος οὖν πάντων
in-the but mind great and honored this-one then all
ἐξουδενούντων καὶ ἀτιμαζόντων ἔχαιρεν καὶ ἠγαλλίατο, τῶν
despising and dishonoring(-him) rejoiced and exulted the
ἀδελφῶν ἐξ ὑποβολῆς τοῦ ἀλλοτρίου πικραινομένων πρὸς
brothers by (the)-suggestion of-the alien(-one) being-embittered against
αὐτὸν, καὶ τῶν μὲν τυπτόντων αὐτὸν, τῶν δὲ ἐμπτυόντων,
him and some indeed beating him others and spitting-upon(-him)
ἄλλων δὲ λοιδορίαις πλυνόντων αὐτόν. Ἐν οἷς μὴ φέρων
others and with-abuse washing him at which not bearing
ὁ ἐχθρὸς τὸ ἔμψυχον τῆς ὑπομονῆς αὐτοῦ ὑποτίθεται
the enemy the living-force of-the endurance his prompts
τινὶ ἀδελφῷ τῶν ἀδελφῶν ἡσυχαζόντων, καὶ εἰσελθὼν
a-certain to-brother of-the brothers being-still and having-gone
ἐν τῇ ἐκκλησίᾳ πάντα τὰ ἱερατικὰ σκεύη ἀποσυλήσας
into the church all the priestly vessels having-stripped
λαθὼν ἐξῆλθεν τοῦ κοινοβίου. Ὡς δὲ ἐγένετο ὁ καιρὸς τῆς
unnoticed went-out of-the community when and came the time of-the
συνάξεως εἰσελθὼν ὁ κανονάρχης βάλλειν τὸ θυμίαμα εὗρεν
synaxis having-entered the precentor to-put(-on) the incense found
πάντα ἀφαιρεθέντα καὶ ἀπελθὼν ἀπήγγειλεν τῷ ἀββᾷ,
all taken-away and having-gone-away reported(-it) to-the abba
καὶ κρούει τὸ ξύλον καὶ συνάγονται οἱ ἀδελφοὶ πάντες καὶ
and strikes the wood and are-gathered the brothers all and
ἤρξαντο ταράττεσθαι καὶ λέγειν· Οὐδεὶς ἔλαβεν αὐτὰ εἰ μὴ ὁ
began to-be-troubled and to-say no-one took them if not the
δεῖνα ἀδελφὸς καὶ διὰ τοῦτο οὐδὲ εἰς τὴν σύναξιν ἦλθεν·
so-and-so brother and because-of this not-even to the synaxis he-came

εἰ μὴ γὰρ τοῦτο οὐκ ἐποίησεν ὡς πάντοτε καὶ νῦν ἤρχετο
if not for this not he-bad-done as always also now he-would-come
πρῶτος. Καὶ πέμπουσιν καὶ εὑρίσκουσιν αὐτὸν εἰς προσευχὴν
first and they-send and find him at prayer
ἱστάμενον, καὶ κρούσαντες εἰσῆλθον καὶ σύρουσιν αὐτὸν μετὰ
standing and having-knocked they-went-in and drag him with
βίας. Ὁ δὲ παρεκάλει λέγων· Τί ἐστιν τὸ πρᾶγμα, πατέρες;
force he and was-entreating saying what is the matter fathers
Οἱ δὲ λοιδορίαις καὶ ἀτιμίαις βάλλοντες αὐτὸν ἔσυρον·
they and with-abuse and dishonors pelting him were-dragging(-him)
ἱερόσυλε, ἀνάξιε καὶ τοῦ ζῆν, οὐκ ἀρκεῖ σοι ὅτι τοσαῦτα ἔτη
temple-robber unworthy even of-the to-live not suffices for-you that so-many years
ἐτάραξας ἡμᾶς, ἀλλὰ καὶ νῦν εἰς τὰς ψυχὰς ἡμῶν ἔπληξας.
you-troubled us but also now in the souls our you-struck
Ὁ δὲ ἔλεγεν· Συγχωρήσατέ μοι ὅτι ἐσφάλην. Καὶ φέρουσιν
he and was-saying forgive me for I-erred and they-bring
αὐτὸν πρὸς τὸν ἀββᾶν καὶ λέγουσιν αὐτῷ· Ἀββᾶ, οὗτος ἐστὶν
him to the abba and they-say to-him abba this is
ὁ ἀπ᾽ ἀρχῆς στρέφων τὸ κοινόβιον. Καὶ ἤρξαντο εἷς
the(-one) from (the)-beginning upsetting the community and began one
καθεῖς λέγειν, ὅτι οἶδα αὐτὸν λάθρα τὰ λάχανα φάγοντα·
by-one to-say that I-know him secretly the vegetables eating
ἄλλος, ὅτι τὰ ψωμία κλέπτων ἐδίδου ἔξω· καὶ ἄλλος, ὅτι
another that the morsels stealing he-gave outside and another that
τὸ κάλλιστον οἶνον ἔφθασα αὐτὸν πίνοντα. Καὶ πάντες
the finest wine I-caught him drinking and all
ψευδόμενοι ἐπιστεύοντο, κἀκεῖνος ἀληθεύων οὐκ ἠκούετο.
lying were-believed and-he speaking-truth not was-heard
Ἐπαίρει οὖν ὁ ἀββᾶς τὸ σχῆμα αὐτοῦ λέγων· ὅτι ταῦτα
takes-away then the abba the habit his saying that these(-things)
οὐκ εἰσὶν χριστιανοῦ. Καὶ σιδηρώσαντες αὐτὸν παραδίδουσιν
not are of-(a)-Christian and having-put-in-irons him they-hand(-him)-over

τῷ οἰκονόμῳ τῆς λαύρας. Κἀκεῖνος γυμνώσας καὶ
to-the steward of-the laura and-he having-stripped(-him) and
βουνεύροις τυπτήσας ἐπυνθάνετο εἰ ἀληθῆ εἰσὶν τὰ
with-ox-sinews having-beaten(-him) inquired if true are the(-things)
περὶ αὐτοῦ λεγόμενα. Ὁ δὲ γελῶν ἔλεγεν· Συγχωρήσατε
about him said he and laughing said forgive
ὅτι ἐσφάλην. Ἀγριωθεὶς δὲ ἐπὶ τῷ λόγῳ κελεύει αὐτὸν
for I-erred having-been-enraged and at the word he-orders him
βληθῆναι εἰς τὸ κολαστήριον, ξύλον ἐν τῇ φυλακῇ τοὺς
to-be-put into the punishment-cell stocks in the prison the
πόδας αὐτοῦ ἀσφαλισάμενος καὶ γράφει τῷ δουκὶ τὰ
feet his having-secured and writes to-the duke the(-facts)
τοῦ πράγματος. Καὶ παρ᾽ αὐτὰ ἔρχονται προάξιμοι καὶ
of-the matter and upon these(-things) come officers and
λαμβάνουσιν αὐτὸν καὶ ἐπιβιβάσαντες ἐπὶ ἀστρώτου ζῴου
take him and having-set(-him) on (an)-unsaddled beast
ἔχοντα σίδηρον βαρὺν κατὰ τοῦ τραχήλου εἵλκον αὐτὸν
having (an)-iron heavy on the neck they-dragged him
μέσον τῆς πόλεως. Καὶ προσαχθεὶς τῷ δικάζοντι
through-the-middle of-the city and having-been-brought to-the judge
ἠρώτατο τίς ἂν λέγοιτο καὶ πόθεν εἶεν καὶ τίνος
he-was-asked who — he-might-be-called and whence he-might-be and for-what
χάριν μονάζων γέγονεν. Ὁ δὲ πλέον οὐδὲν ἔφησεν ἢ ὅτι
sake (a)-monk he-had-become he and more nothing said than that
ἥμαρτον, συγχώρησόν μοι. Ἐμμανὴς οὖν ὁ δοὺξ κελεύει
I-have-sinned forgive me raging then the duke orders
αὐτὸν τανυσθῆναι καὶ βουνεύροις ὠμοῖς διαῤῥαγῆναι αὐτοῦ
him to-be-stretched and with-ox-sinews raw to-be-torn his
τὸν νῶτον. Τανυθεὶς οὖν ἐκ τεσσάρων καὶ τοῖς νεύροις
the back stretched then from four(-sides) and with-the sinews
ἀνηλεῶς μαστιζόμενος μειδιῶντι τῷ προσώπῳ λέγει πρὸς
pitilessly being-scourged with-smiling the face he-says to

τὸν δοῦκα· Τύπτε, τύπτε, τὸ ἀργύριόν μου λαμπρότερον
the duke beat beat the silver my brighter
ἀπεργάζῃ. Κἀκεῖνος φησίν· Ἐγώ σου ὑπὲρ χιόνα ἀναδείξω
you-work and-he says I your beyond snow will-show-up
τὴν μωρίαν. Καὶ κελεύει πῦρ ὑποστρωθῆναι τῇ κοιλίᾳ αὐτοῦ
the folly and orders fire to-be-spread-under the belly his
καὶ ἅλας ὀξὺ συμφυράσαντες ἐπιχῦσαι τοῖς μώλωψιν αὐτοῦ.
and salt sharp having-mixed to-pour(-it) on-the welts his
Οἱ δὲ παρεστῶτες ἐθαύμαζον ἐπὶ τῇ τοσαύτῃ καρτερίᾳ
those and standing-by marveled at the such endurance
καὶ ἔλεγον πρὸς αὐτόν· Εἰπὲ ἡμῖν ποῦ ἔβαλες τὰ ἱερατικὰ
and were-saying to him tell us where you-put the priestly
σκεύη καὶ ἀπολύῃ. Ὁ δὲ ἔλεγεν ὅτι οὐκ ἔχω πρᾶγμα.
vessels and you-are-released he and was-saying that not I-have (a)-matter(-in-it)
Μόλις δὲ ἀνεθῆναι αὐτὸν τῆς βασάνου κελεύσας εἰς
hardly and to-be-let-go him from-the torture having-ordered to
τὸ δεσμωτήριον προστάττει ἀπαχθῆναι καὶ ἄσιτον καὶ
the prison he-commands (him)-to-be-led-off and foodless and
ἀνεπιμέλητον φυλαχθῆναι, καὶ τῇ ἑξῆς πέμψας ἐν τῇ
untended to-be-kept and on-the next(-day) having-sent to the
λαύρᾳ κελεύει ἀχθῆναι τοὺς τοῦ κοινοβίου καὶ τὸν ἀββᾶν,
laura he-orders to-be-brought those of-the community and the abba
καὶ ἐλθόντων αὐτῶν λέγει πρὸς αὐτοὺς ὁ δούξ· Πάνυ
and having-come they says to them the duke very
πολλὰ ποιήσας καὶ πολλαῖς τιμωρίαις αὐτὸν ὑποβαλὼν
many(-things) having-done and to-many punishments him having-subjected
οὐδὲν πλέον ἠδυνήθην εὑρεῖν. Καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοί·
nothing more I-was-able to-find and say to-him the brothers
Δέσποτα, καὶ ἄλλα πολλὰ κακὰ ἐποίησεν καὶ διὰ τὸν
master also other many evils he-did and for-the-sake-of —
Θεὸν ἐβαστάσαμεν αὐτὸν προσδοκῶντες αὐτὸν ἐπιστρέφειν,
God we-bore him expecting him to-turn-back

καὶ ἰδοὺ εἰς χείρονα μᾶλλον ἦλθεν. Λέγει αὐτοῖς· Τί
and behold to worse rather he-has-come he-says to-them what
οὖν ποιήσω αὐτῷ; Λέγουσιν αὐτῷ· Τὰ δοκοῦντα τοῖς
then shall-I-do to-him they-say to-him the(-things) seeming(-good) to-the
νόμοις. Λέγει αὐτοῖς· Ὁ νόμος τοὺς ἱεροσύλους φονεύει.
laws he-says to-them the law the temple-robbers kills
Λέγουσιν· Φονεύοιτο. Καὶ ἀπολύει αὐτούς, καὶ φέρει τὸν
they-say let-him-be-killed and he-dismisses them and brings the
ἀδελφὸν, καὶ καθίσας ἐπὶ τοῦ κριτηρίου λέγει πρὸς αὐτόν·
brother and having-sat on the tribunal says to him
Ὁμολόγησον, ἄθλιε, καὶ ῥύσθητι τοῦ θανάτου· Λέγει ὁ
confess wretch and be-rescued from-the death says the
ἀδελφός· Εἰ κελεύεις ἵνα εἴπω τὸ μὴ ὄν, λέγω. Ὁ
brother if you-bid that I-say the(-thing) not being I-say(-it) he
δέ· Οὐ θέλω σε καταψεύσασθαι ἑαυτοῦ. Ὁ δὲ ἀδελφὸς
and not I-wish you to-lie-against yourself he and brother
λέγει· Οὐδὲν ὃ ἐρωτῶμαι ποιήσας ποτέ. Ἰδὼν οὖν
says nothing which I-am-asked having-done ever having-seen then
ὁ δοὺξ ὅτι οὐδὲν λέγει κελεύει αὐτὸν ἀποκεφαλισθῆναι.
the duke that nothing he-says he-orders him to-be-beheaded
Ἀπαγομένου δὲ αὐτοῦ εἰς κατάνυξιν ἐλθὼν ὁ
being-led-off and he to compunction having-come the(-one)
ἐπάρας τὰ κειμήλια λέγει πρὸς ἑαυτόν· Κἄν τε ἄρτι
having-carried-off the treasures says to himself whether — now
κἄν τε ὅτε δήποτε γνωσθῆναι ἔχει τὸ πρᾶγμα· εἰ δὲ καὶ ὧδε
or — when ever to-be-known has the matter if and even here
λάθῃς, τί ποιήσεις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ; πῶς ἀπολογίσῃ
you-escape-notice what will-you-do in the day that how will-you-answer
περὶ τοιούτων κακῶν πράξεων; Καὶ ἔρχεται πρὸς τὸν ἀββᾶν
for such evil deeds and he-comes to the abba
καὶ λέγει αὐτῷ· Ταχὺ πέμψον ἵνα μὴ ἀποθάνῃ ὁ ἀδελφός·
and says to-him quickly send that not die the brother

εὑρέθησαν γὰρ τὰ ἱερὰ σκεύη. Πέμπει οὖν καὶ ἀναφέρει
were-found for the sacred vessels he-sends then and reports
τῷ δουκὶ καὶ ἀπολύεται ὁ ἀδελφὸς, καὶ φέρουσιν αὐτὸν
to-the duke and is-released the brother and they-bring him
εἰς τὸ κοινόβιον. Καὶ ἤρξαντο πάντες προσπίπτειν αὐτὸν
to the community and began all to-fall-before him
καὶ λέγειν ὅτι ἡμάρτομεν εἰς σέ, συγχώρησον ἡμῖν. Ὁ δὲ
and to-say that we-have-sinned against you forgive us he and
ἤρξατο κλαίειν καὶ λέγειν· Συγχωρήσατέ μοι ὅτι μεγάλας
began to-weep and to-say forgive me for great
ὑμῖν χάριτας ὁμολογῶ, ὅτι διὰ τῶν τούτων πόνων
to-you thanks I-acknowledge that through the these labors
μεγάλων ἀξιοῦμαι ἀγαθῶν. Μεγάλως γὰρ πάντοτε
of-great I-am-deemed-worthy good(-things) greatly for always
ἐχαιρόμην ὅταν ἤκουον τὰ ὑφ' ὑμῶν λεγόμενα ἄτοπα
I-rejoiced when I-heard the(-things) by you said monstrous
περὶ ἐμοῦ, ὅτι διὰ τῶν ὀλίγων τούτων ἐξουδενώσεων τῶν
about me that through the few these despisings of-the
μεγάλων τιμῶν κατὰ τὴν φοβερὰν ἡμέραν ἀξιωθήσεσθαι
great honors at the fearful day to-be-deemed-worthy
ἤμελλον. Πλείω δὲ νῦν ἔχαιρον ὅτι τοῦτό μοι ἐποιήσατε,
I-was-about more and now I-rejoiced that this to-me you-did
εἰ μὴ ὅτι θλίψις μοι ἦν δι' ὑμᾶς, προεώρων γὰρ τῆς
if not that affliction to-me was because-of you I-foresaw for of-the
διὰ τούτων τῶν πειρασμῶν προσδοκωμένης ἀναπαύσεως
through these the temptations expected rest
ἐν τῇ τῶν οὐρανῶν βασιλείᾳ τὴν ἀντίδωσιν.
in the of-the heavens kingdom the recompense
Ζήσας δὲ ὁ ἀδελφὸς τρεῖς ἡμέρας ἀπῆλθεν πρὸς Κύριον.
having-lived and the brother three days went-away to (the)-Lord
Καὶ ἐλθὼν εἷς τῶν ἀδελφῶν ἰδεῖν πῶς ἔχει εὑρίσκει
and having-come one of-the brothers to-see how he-is finds

αὐτὸν ἐπὶ γόνατα κείμενον· ἦν γὰρ μετάνοιαν ποιῶν καὶ
him on (his)-knees lying he-was for penitence making and
προσευχόμενος. Καὶ οὕτως ἀπέδωκεν τὴν ψυχήν. Ἔμεινεν
praying and thus he-gave-up the soul remained
οὖν τὸ σῶμα αὐτοῦ ἔτι κείμενον εἰς μετάνοιαν. Καὶ ἔρχεται
then the body his still lying in penitence and comes
ὁ ἀδελφὸς καὶ λέγει τῷ ἀββᾷ. Καὶ κελεύει ἐναχθῆναι
the brother and says(-it) to-the abba and he-orders to-be-brought-in
τὸ σῶμα αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ ἵνα ἐκεῖ ἐνταφιάσθῃ. Ὡς
the body his into the church that there it-be-buried when
οὖν ἔθηκαν αὐτὸν ἔμπροσθεν τοῦ θυσιαστηρίου κελεύει
then they-placed him before the altar he-orders
κροῦσαι τὸ ξύλον ἵνα καὶ πᾶσα ἡ λαύρα συνάχθῃ, καὶ
to-strike the wood that also all the laura be-gathered and
μετὰ δόξης τὸ σῶμα αὐτοῦ κατατέθῃ. Ὡς δὲ συνήγοντο
with glory the body his be-laid-down when and they-were-gathering
ἤθελον ἕκαστος εὐλογίαν αὐτοῦ ἐπαίρειν. Ἰδὼν οὖν
they-wished each (a)-blessing from-him to-carry-off having-seen then
ὁ ἀββᾶς τίθησιν τὸ σῶμα αὐτοῦ εἰς τὸ ἱερατεῖον.
the abba places the body his in the sanctuary
Καὶ ἀσφαλισάμενος τὰ κλειδία ἐξεδέχετο τῷ ἀββᾷ τῆς
and having-secured the keys was-waiting-for the abba of-the
λαύρας ἵνα κοινῇ ἐνταφιάσωσιν αὐτόν. Ὡς οὖν ἦλθεν ὁ
laura that in-common they-might-bury him when then came the
πατὴρ τῆς λαύρας μετὰ τῶν κληρικῶν καὶ ἐποίησαν τὴν
father of-the laura with the clergy and they-made the
εὐχὴν λέγουσιν τῷ ἀββᾷ· Ἄνοιξον φέρε τὸ σῶμα ἵνα
prayer they-say to-the abba open bring the body that
ἐνταφιάσθῃ, ὅτι καιρὸς τῆς ἐννάτης ἐστὶν λοιπόν. Καὶ
it-be-buried for (the)-time of-the ninth(-hour) it-is now and
ἀνοίξας οὐδὲν εὗρεν εἰ μὴ μόνον τὰ ἱμάτια αὐτοῦ καὶ
having-opened nothing he-found if not only the garments his and

τὰ σανδάλια. Καὶ πάντες θαμβηθέντες ἤρξαντο δοξάζειν
the sandals and all astounded began to-glorify
τὸν Θεὸν μετὰ δακρύων καὶ λέγειν· Βλέπετε, ἀδελφοὶ,
— God with tears and to-say you-see brothers
οἷα προξενῇ ὑμῖν ἡ μακροθυμία καὶ ἡ ταπείνωσις ὡς
what procures for-you the long-suffering and the humility as
οὖν ἴδετε· οὕτως καὶ ὑμεῖς ἀγωνίσασθαι ὑπομένοντες
then you-saw so also you strive enduring
ἐξουδένωσιν καὶ πειρασμὸν, ὅτι βασιλείαν οὐρανῶν οἶδεν
contempt and temptation for (the)-kingdom of-heavens it-knows-how
προξενεῖν, διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
to-procure through the grace of-the Lord our Jesus
Χριστοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων!
Christ to-whom the glory to the ages of-the ages
